KEY

TO

EXERCISES IN THE SYNTAX AND IDIOMS OF ATTIC GREEK

BY

W. H. D. ROUSE, M.A.

HEAD MASTER OF THE PERSE SCHOOL, CAMBRIDGE
FORMERLY FELLOW OF CHRIST'S COLLEGE, CAMBRIDGE, AND
ASSISTANT MASTER AT RUGBY SCHOOL

AND

J. M. SING, M.A.

ASSISTANT MASTER AT ST. EDWARD'S SCHOOL, OXFORD



This Key is only supplied to authenticated teachers direct from the Publishers.

It is earnestly requested that should there be no further legitimate use for this Key, teachers will destroy it, to prevent it falling into hands for which it is not intended.

RIVINGTONS

34 *KING STREET, COVENT GARDEN*

LONDON

1902

Price Six Shillings net.

Rivingtons' Junior Classics.

First Latin Translation Book. By J. A. Turner and A. H. Thomas. 1s. 6d.

Loculi. A Second Latin Reading Book. By F. D. Morice. 2s. net.

Initia Latina. A Latin Book for Beginners. By E. D. Mansfield. 2s.

Exercises in Latin Prose. By E. D. Mansfield. 2s. 6d. net.

Edited, with Maps, Plans, Exercises for Re-translation, Notes, and Vocabularies.

Caesar, The Gallic War. Books I. to VI., 1s. 6d. each.

Selections from Cicero. In Two Parts. 1s. 6d. each.

Eutropius. 2s.

Selections from Livy. 2s.

Selections from Ovid. 2s.

Cornelius Nepos. 2s.

The Anabasis of Xenophon. Book I. 2s.

Rivingtons' Single Term Latin Readers

With Notes, Exercises, and Vocabularies.

First Term.—*Three Books*, of equal difficulty. 8d. each. *First Book, Second Book*, and *Third Book*.

Second Term.—*Three Books*, of equal difficulty. 1s. each. *First Book, Second Book*, and *Third Book*.

Third Term.—*Three Books*, of equal difficulty. 1s. each. *First Book, Second Book*, and *Third Book*.

Fourth Term.—*Three Books*, of equal difficulty. 1s. each. *First Book, Second Book*, and *Third Book*.

Fifth Term.—*Three Books*, of equal difficulty. 1s. 4d. each. *First Book, Second Book*, and *Third Book*.

Sixth Term.—*Three Books*, increasing in difficulty. 9d. each. *First Book, Second Book*, and *Third Book*.

Rivingtons' Single Term Greek Readers

With Notes and Vocabularies. 9d. each.

First Term.—*Three Books*, of equal difficulty. *First Book, Second Book*, and *Third Book*.

Second Term.—*Three Books*, of equal difficulty. *First Book, Second Book*, and *Third Book*.

Third Term.—*Three Books*, of equal difficulty. *First Book, Second Book*, and *Third Book*.

A Primer of Greek Grammar. By E. Abbott and E. D. Mansfield. 3s. 6d. net, or separately:— **Accidence.** 2s. 6d. net. **Syntax.** 1s. 6d. net.

A Primer of Greek Exercises. Based on, and adapted to, the above. By W. Greenstock. 3s. 6d.

Greek Prose Composition. By M. A. North and A. E. Hillard. 3s. 6d.

Exercises in the Syntax and Idioms of Attic Greek. Containing 104 Exercises, three Appendices, and Vocabulary. By W. H. D. Rouse and J. M. Sing. 3s. 6d.

A First Greek Reading Book. By Arthur Sidgwick. 2s. 6d.

Greek Sentence Construction. By Arthur Sidgwick. 1s. 6d. net.

Rivingtons' Middle Form Classics.

Livy. Book I. By A. F. Hort. 2s.

Livy. Book II. By A. F. Hort. 2s.

Livy. Book V. By A. F. Hort. 2s.

Euripides' Hercules Furens, Scenes from. By A. F. Hort. 1s. 6d.

Pylos and Sphakteria, from Thucydides. By W. Rouse. 1s. 6d.

The Retreat from Syracuse, from Thucydides. By W. Rouse. 1s. 6d.

The Siege of Plataea, from Thucydides. By J. M. Sing. 1s. 6d.

Brasidas in Thrace, from Thucydides. By J. M. Sing. 1s. 6d.

A Primer of Latin Grammar. By W. Modlen. With a Preface by F. B. Jevons. 2s. 6d. Or separately— **Accidence,** 1s. **Syntax,** 1s. 6d.

Latin Lessons for Beginners. By A. S. R. Hallidie. 1s. 6d.


Latin Prose Composition for Middle Forms of Schools. By M. A. North and A. E. Hillard. 3s. 6d.

A Latin Verse Book. For Junior Students. By A. H. Thomas. 3s. 6d.

Legenda Latina. A Latin Reading Book. By M. Brackenbury. 3s. 6d.

Ediscenda. Passages for repetition in Latin and Greek. By J. Wood. 3s. 6d.

Rivingtons' Class Books of Latin Unseens. (*a*) Six books, for alternative use (of a nearly similar standard of difficulty), for the use of Fourth Forms of Schools; and (*b*) Six books, for use of Fifth Forms. Edited by E. H. C. Smith. 6d. each net.



RIVINGTONS' JUNIOR CLASSICS

First Latin Translation Book.

Containing 170 Latin Passages, with Preparations, Notes, and a Latin-English Vocabulary; and English Exercises for Re-translation, with an English-Latin Vocabulary.

By A. H. THOMAS, M.A., *Head Master of Crescent House School, Brighton.* With a Preface by J. ARNOLD TURNER, B.A., *Assistant Master at Haileybury College. Crown* 8*vo.* 1*s.* 6*d.*

Loculi. Forming a Second Latin Reading Book for the use of Junior Forms of Schools. With Notes, Exercises for Re-translation, and Vocabulary. *By* F. D. MORICE, M.A., *Fellow of Queen's College, Oxford. Crown* 8*vo.* 2*s. net.*

Initia Latina. A Latin Book for Beginners.

By E. D. MANSFIELD, M.A., *Lambrook, Bracknell. Crown* 8*vo.* 2*s*.

This book is intended to supply the needful Grammar, Translation, and Exercises for a boy beginning Latin, either at home or at a Preparatory School. It covers the same ground, and uses the same vocabulary as the earlier exercises of Mr. Mansfield's *Exercises in Latin Prose*, and has been written to meet the views of teachers who have found that these advanced somewhat too rapidly for young beginners of average ability.

It deals with the Simple Sentence, and with the Accidence to the end of the Regular Verbs. A suitable portion of grammar is printed with each lesson, and the whole of the Accidence used is summarised in clear print on a few pages at the end of the book.

Exercises in Latin Prose. With Notes and Vocabularies.

By E. D. MANSFIELD, M.A. *Crown* 8*vo.* 2*s.* 6*d. net.*

Caesar, The Gallic War. BOOKS I. to VI.

Edited with Maps, Plans, Notes, Exercises for Re-Translation, and Vocabularies. Crown 8*vo.* 1*s.* 6*d. each book.*

May be had either with or without Vocabularies.

'We are certain (and we speak from experience) that, if classical teachers will give these little manuals a fair trial, they will be more than surprised at the results obtained by their pupils.'

Schoolmaster.

CAESAR, THE GALLIC WAR—*Continued.*

'Among the many existing editions of the first book of Caesar this is the best we have yet seen.'—**Aberdeen Journal.**

'No more useful introduction to Latin Prose could be placed in the hands of a schoolboy than that before us.'—**Glasgow Herald.**

'The present issue of the text appeals to master and student alike, on account of its simplifying methods. We cordially recommend it to both.'—**Scotsman.**

'The very excellent series of imitative exercises in Latin composition is exactly what boys and girls reading Caesar should be drilled in.'—**Glasgow Herald.**

'An excellent edition (Book IV.) with sufficient notes and a clear and probably correct explanation of the schoolboy's bugbear—Caesar's bridge over the Rhine. The plan of placing at the end of each author passages to be turned into Latin, adopted in this book, seems so sensible and obvious, that we marvel it was not adopted a century ago.'—**Spectator.**

Selections from Cicero.

In Two Parts. Crown 8vo. 1s. 6d. each, sold separately.

PART I. SELECTIONS FROM THE WHOLE OF CICERO'S WORKS.
PART II. SELECTIONS FROM CICERO'S ORATIONS.

Selections from Eutropius.

BOOKS I. to VI. *Crown 8vo. 2s.*

May be had either with or without Vocabulary.

'Mr. Hallidie's notes are short and useful. The sentences and connected passages for translation into Latin are remarkably well graded.'—**Glasgow Herald.**

'We have found the notes, which we have examined, well within the grasp of such youthful students as might be expected to read Eutropius.'—**Aberdeen Journal.**

Cornelius Nepos.

(Select Lives.) *Crown 8vo. 2s.*

May be had either with or without Vocabulary.

'It is a trustworthy, straightforward book, which, in our judgment, deserves to be very highly recommended.'—**Guardian.**

'The "Select Lives" are admirably chosen, and quite as admirably edited.'—**Birmingham Daily Gazette.**

Easy Selections from Livy. *Crown 8vo.* 2*s.*

May be had either with or without Vocabulary.

The Anabasis of Xenophon. BOOK I. *Crown 8vo.* 2*s.*

May be had either with or without Vocabulary.

'The work has been edited with great care, and forms a worthy companion to the other books of the series.'—**Educational Times.**

Selections from Ovid. *Crown 8vo.* 2*s.*

May be had either with or without Vocabulary.

'Some capital selections from the best and purest text for working purposes (Martel's) are here supplemented with a variety of excellent notes, a vocabulary, and exercises for translation. In harmony with the subject-matter is given a capital little set of rules for writing elegiac verse, and with the aids and hints which accompany the English text, the student who uses this text-book should be fairly well equipped for a difficult task.'

Birmingham Daily Gazette.

The Gospels in Greek. With Introduction, Summary of the Life of our Lord, Notes, Vocabulary, and Map.

General Editor, the Rev. EDWARD MILLER, M.A., *formerly Fellow and Tutor of New College, Oxford.* *Crown 8vo.* 2*s. each.*

The Gospel according to St. Matthew.
The Gospel according to St. Mark.
The Gospel according to St. Luke.
Edited by H. R. HEATLEY. M.A.

Each Gospel may also be had, Text only, 1*s.*; or Text and Notes, 1*s.* 6*d*.

RIVINGTONS
34 *KING STREET, COVENT GARDEN, LONDON*

KEY TO EXERCISES IN THE SYNTAX AND IDIOMS OF ATTIC GREEK

Damon: A Manual of Greek Iambic Composition.

By J. H. WILLIAMS *and* W. H. D. ROUSE. *Crown 8vo.* 2*s.* 6*d.*

A Master's Key. 5*s.* 2*d.* net, post-free. To be obtained direct from the Publishers only, by authenticated Teachers.

The Siege of Plataea, from Thucydides, BOOKS II., III.

Edited by J. M. SING, M.A. *Crown 8vo.* 1*s.* 6*d.*

'Mr. SING has made an excellent little school book out of the narrative of the surprise of Platea.'—*Spectator.*

Brasidas in Thrace, from Thucydides, BOOKS IV., V.

Edited by J. M. SING, M.A. *Crown 8vo* 1*s.* 6*d.*

'Mr. SING has provided a good reading book for Middle Forms.'
Educational Times.

Pylos and Sphakteria, from Thucydides, BOOK IV.

Edited by W. H. D. ROUSE, M.A. *Crown 8vo.* 1*s.* 6*d.*

The Retreat from Syracuse, from Thucydides, BOOK VII.

Edited by W. H. D. ROUSE, M.A. *Crown 8vo.* 1*s.* 6*d.*

'A capital little book.'—*University Correspondent.*

LONDON: RIVINGTONS

KEY

TO

EXERCISES IN THE SYNTAX AND IDIOMS OF ATTIC GREEK

BY


W. H. D. ROUSE, M.A.

HEAD MASTER OF THE PERSE SCHOOL, CAMBRIDGE
FORMERLY FELLOW OF CHRIST'S COLLEGE, CAMBRIDGE, AND
ASSISTANT MASTER AT RUGBY SCHOOL

AND

J. M. SING, M.A.

ASSISTANT MASTER AT ST. EDWARD'S SCHOOL, OXFORD



RIVINGTONS

34 *KING STREET, COVENT GARDEN*

LONDON

1902

NOTE

CORRIGENDUM IN VOCABULARY (1st Edition).

P. 173. s.v. 'school,' *for* παρὰ διδασκάλου *read* παρὰ διδάσκαλον.

KEY TO EXERCISES

IN THE SYNTAX AND IDIOMS OF ATTIC GREEK

1.

1. οὗτοι οἱ ἄνδρες πάντες ταὐτὰ ἐποίησαν.
2. ἑαυτὸν ἔβλαψεν.
3. ἆρα μὴ ταῦτα ἀληθῆ ἐστιν ;
4. μήποτε ψευστῇ πίστευε.
5. ταὐτὰ ἐμοὶ ἐποίησεν.
6. τὰ μὲν ἀληθῆ, τὰ δὲ ψευδῆ ἐστιν.
7. χρήματα ᾐτήθημεν.
8. ὁ ῥήτωρ τοιάδε ἔλεγεν.
9. ἆρ' οὐ παρῆσθα ἐκείνῃ τῇ ἡμέρᾳ ;
10. αὐτὸς ἐποίησα.
11. μὴ προδῷς τοῖς πολεμίοις ταύτην τὴν πόλιν.
12. αὐτὸν δεῖ σε ἰέναι.
13. ἄλλοι ἄλλα ἔφασαν.
14. κέλευε τοὺς δούλους δεῦρο ἐλθεῖν.
15. ἀγγέλους Ἀθήναζε ἀποστέλλωμεν.
16. ταὐτά σοι φιλῶ.
17. ἑκάστῳ τὰ ἑαυτοῦ μελέτω.
18. ἡ ναῦς ἀπώλετο αὐτοῖς ἀνδράσιν.
19. οὐ τοσοῦτον ἐμοὶ ἔδωκε μισθόν.
20. μήποτε τοῦτο πάλιν εἴπῃς.

2.

1. τῶν Λακεδαιμονίων βασιλέων τίνα ἐν μεγίστῃ ἔχετε τιμῇ; τὸν Λεωνίδαν.
2. τοῖν Λακεδαιμονίοιν βασιλέοιν πότερος στρατηγεῖ; ὁ Ἀρχίδαμος.
3. ὅ τε πατὴρ καὶ ὁ ἀδελφὸς ἐν ταὐτῷ πολέμῳ ἀπεθανέτην.
4. ὁ Φίλιππος πρῶτος παρέγενετο· μόνος ἐλθών.
5. πόθεν ἦλθες; ποῖ πορεύει;
6. τῶν στρατηγῶν οἱ μὲν αὐτοὶ παρῆσαν, οἱ δὲ οὔ.
7. ἐκείνῃ τῇ ἡμέρᾳ τετράκις μύριοι ἀπέθανον.
8. ἆρ' οὐ δύνασαι ἀληθεύειν;
9. ἐν ταύτῃ τῇ μάχῃ οὐδέτεροι ἐνίκων.
10. λέγωμεν ἢ σιγῶμεν;
11. τὸν ἄνδρα ἀποδημεῖν δεῖ καὶ ἄλλοσέ ποι μεταχωρῆσαι.
12. τοῖς θαρσαλέοις ὁμοιοῦ, ἀλλὰ μὴ τοῖς δειλοῖς.
13. ὁ ἀνὴρ ἐναντία αὐτὸς ἑαυτῷ διὰ παντὸς λέγει.
14. ὁ ἀνὴρ τὴν αὐτὴν δραχμὴν ηὗρεν.
15. τίνος ἔχεις τὸ βιβλίον; αὐτὸς τὸ ἐμαυτοῦ.
16. ἡ ναῦς ἐν τῷ ποταμῷ μέσῳ κατέδυ.

3.

1. μὴ πρὸ τοῦ σημείου ἀνίστασο.
2. τῶν στρατευομένων οὗτος ἄριστος.
3. τοῦτο ταὐτόν ἐστιν ἐκείνῳ.

4. ὁ Ἀρίσταρχος μόνος ἐσώθη.
5. εἴθ ὤφελες παραγενέσθαι.
6. ὁ Ἀριστείδης πέμπτος αὐτὸς ἐστρατήγει.
7. ἆρα ταὐτὸν ἡμαρτήκαμεν, ἐγώ τε καὶ σύ;
8. εἴ πώς σοι βοηθεῖν δυναίμην.
9. τὰ μὲν σοφὰ, τὰ δὲ μῶρά ἐστιν· τοσοῦτον καὶ αὐτὸς οἶσθα.
10. οὐδέτεροι τοῖς συμμάχοις βοηθεῖν ἠδυνήθησαν.
11. μὴ πλείω ἐρώτα.
12. τί ἡμῖν ποιητέον;
13. ἄλλους ἄλλα ἐκέλευσεν.
14. εἴθ' ὤφελεν ὁ ἐχθρὸς βιβλίον συγγράψαι.
15. πολλὰ ἐρωτῶντι αὐτῷ οὐδὲν ἀπεκρινάμην.
16. πάντες αὐτόσε ἀναγκαζόμεθα.

4.

1. οὐ μήποτε σῶς τῆς οἰκίας ἀποχωρήσῃ.
2. μήποτε παῦε φιλοτιμούμενος.
3. μὴ παύσῃ τρέχων.
4. ἀναγνοίης ἂν αὐτὸς τήνδε τὴν ἐπιστολήν.
5. ἆρα τήμερον ἢ καὶ αὔριον ἀφίξεται;
6. τέθνατον ὅ τε πατὴρ καὶ ἡ μήτηρ.
7. οὐ μὴ φονεύσεις.
8. ἆρ' οὐ ῥᾳδίως εὐδαιμονεῖ τις πλουτῶν;
9. δέχοισθε ἂν ταῦτα τὰ δῶρα.
10. φέρε δή, πάντα μοι ἐξηγοῦ.
11. μὴ φοβηθῇς· αὐτίκα γάρ σοι βοηθήσω.
12. τὼ ὑπάτω ἐν ταύτῃ μάχῃ ἄμφω ἀπεθανέτην.

13. ἡ δὲ σκιά σοι μήποτε ἐλάσσων γίγνοιτο.
14. εἴ πως λήγοι ὁ ὑετός.
15. οὐκ ἂν σιωπήσειας;
16. οὐ μήποτε χαίρων ἀπαλλάγῃς.
17. οὐ μήποτε ἐξεύρῃ τὰ ὄντα.

5.

1. εἴην ἄν, γενοίμην ἄν, τοῦτ' ἂν δρῴην, λέγοιμ' ἄν, βουλοίμην ἄν.
2. ἐγενόμην ἄν, ἦν ἄν, ἴοιμι ἄν, ᾖα ἄν, ἀπῆλθον ἄν.
3. εἶδες ἄν, ἠρώτησας ἄν, ἔλεγες ἄν, εἶπες ἄν, εἶδες ἄν.
4. ἆρ' οὐκ ἂν βούλοιντο; ἀπῆλθεν ἄν, ἆρ' ἂν βούλοιο; ἆρ' ἂν ἴοις; ἆρ' ἂν πιστεύοις;
5. οὐκ ἂν ἦλθον, ἆρ' ἂν δρῴη; ἔζη ἄν, οὐκ ἂν ἔδοξέ μοι, ἆρ' ἂν λέγοις μοι;
6. ἆρ' ἂν φέροιέν μοι αὐτό, εὐηθὴς ἂν ἦν (or εἴην), δοῦλοι ἂν ἐγένοντο.
7. πότε βούλοιο ἂν ἐλθεῖν, πῶς ἂν ἠδυνήθη δρᾶν, ῥᾳδίως ἂν ηὗρεν.
8. ἔδρασα ἂν αὐτός, ἅπαντες ἂν ταὐτὸ δρῷεν, δοῦλοι ἂν ἦτε.
9. ἀπίοιμεν εὐθὺς ἂν οἴκαδε· νῦν μὲν ἦν ἂν γέρων, ἀλλ' ἀπέθανε νέος.
10. δυναίμην ἂν λέγειν, ἡδέως ἂν σε ἴδοιεν, οὐκ ἂν πίθοιο οὐδέποτε.

6.

1. εἰ ἴδοιμι, εἰ δρῴην, εἰ λέγοιμι, εἰ εἰδείην, εἰ εὕροιμι.
2. εἰ ἐγένετο, εἰ εἶδεν, εἰ ἔμαθεν, εἰ ηὗρεν, εἰ ἔπραξεν.
3. εἰ ἀγαθοὶ ἦμεν, εἰ μὴ ἐπιθόμην, εἰ εὕροις, εἰ εἶδον.
4. εἰ καταλάβοιμι αὐτόν, εἰ ηὗρεν ὃ ἀπώλεσα, εἰ βαλλάντιον εἶχον μεστὸν ἀργυρίου.
5. εἰ βούλοιντο ἰδεῖν ἐμέ, εἰ μάθοιμι τἀληθές, εἴ σοι ἔλεξα.
6. εἰ μὴ αὐτὸς εἶδον, εἰ νῦν ἦν ἀνὴρ, εἰ σὺ ἦν ἐγώ.
7. εἰ ἀδελφὸν εἶχες, εἰ μὴ ἀπώλεσαν ἅπαντα, εἴ σε βλάπτοι.
8. εἰ ἀνάγκη ἦν, εἰ ἀνάγκη γένοιτο, εἴ σε βλάπτοιμι.
9. εἰ φωνὴν εἶχον οἱ λίθοι, εἰ δίκαια ἠξίωσας, εἴ τις εὕροι τὸ βαλλάντιόν μου.
10. εἰ ταὐτὰ ἔπραξα, εἰ μὴ παρεγένου, εἰ μὴ δοῦλοι ἦσαν.

7.

1. εἴ σε ἴδοιμι ἐγώ, οὐκ ἂν σὺ ἐμὲ ῥᾳδίως ἴδοις.
2. εἰ ηὗρον δραχμήν, οὐκ ἂν εἶπόν σοι.
3. εἰ ποιήσειας τοῦτο κλαύσειας ἄν.
4. εἰ μάθοιεν τἀληθῆ, ὡς χαίροιεν ἄν.
5. εἰ μὴ παρεγενόμην, οὐκ ἂν ἐπιθόμην οὔποτε.
6. εἰ μὴ ἀνάγκη ἦν, οὐκ ἂν ἐκώλυόν σε.
7. εἰ δοῦλος γένοιτο, ἐργάζοιτο ἄν.
8. ἡδέως ἂν ἀκούοιμί σου, εἰ λέγοις.
9. ἆρ' οὐκ ἂν ἡδέως ηὗρες τὸ βαλλάντιον ὃ ἀπώλεσα;

10. βουλοίμην ἂν οἴκαδε ἀπιέναι· ἆρ' οὐκ ἂν βούλοιο ταὐτὸ καὶ σύ;
11. εἰ λίθος ἦσθα, οὐκ ἂν ἦσθα κωφότερος.
12. εἰ θεὸς ἦν, ἐδίδουν ἄν σοι τάλαντα μύρια.
13. εἰ μὴ αὐτὸς εἶδον, οὐκ ἂν ἔλεγόν σοι.
14. εἰ φρόνιμος ἐγενόμην, πλούσιος ἂν ἦν νῦν.
15. εἰ σοφὸς ἦν, οὐκ ἂν ἔδρασε τὸ τοιοῦτον οὐδέποτε.

8.

1. ἐὰν εὕρω δραχμήν, δώσω σοι.
2. ἐρεῖ, ἐὰν μὴ κωλύωμεν αὐτόν.
3. εὑρήσουσι ῥᾳδίως τὸ βαλλάντιον, ἐὰν ζητῶσιν.
4. οὐκ ἀπαρνήσομαι οὔποτε, οὐδ' ἐὰν σύ με ἀδικῇς.
5. ἐὰν δοῦλος γένωμαι, ἡδέως ἐργάσομαι.
6. ταχέως πλούσιος γενήσει, ἐὰν ἐργάζῃ.
7. ἐὰν ἴδῃς αὐτός, ἴσως πείσει μοι.
8. ἡσθήσει δή, ἐὰν μάθῃς τἀληθές.
9. ἡδέως σοι δώσω τάλαντα χίλια, ἐὰν δύνωμαι.
10. ἐρῶ νῦν, ἐὰν μηκέτ' αὖθις.
11. οὐ μήποτέ σε βλάψω, ἐάν μοι πίθῃ.
12. ἀπίασιν οἴκαδε, ἐὰν εὕρωσι τὰ βαλλάντια.
13. πῶς λέξεις, ἐὰν μὴ μάθῃς μήποτε;
14. οὐ ῥᾴδιον ἔσται ἰδεῖν αὐτούς, ἐὰν ἔλθωσιν;
15. ἐὰν ἐγὼ διδῶ δραχμὴν μίαν, οὐκ ἄρα δύο δώσεις σύ;

9.

1. εἰ ἡμάρτηκα, τί οἷός τ' εἰμὶ δρᾶν; (or τί δράσω;)
2. εἰ ἄνθρωπος εἶ, βοήθει ἄνδρι πτωχῷ καὶ κακοδαίμονι.

3. εἰσελθεῖν πάρεστιν; πάρεστιν, ἐὰν ἐθέλῃς.
4. εἰ θᾶσσον ἔδραμες, ῥᾷον ἂν ἐνίκησας.
5. εἰ μὴ ἁμαρτάνω, ἰδοῦ τὸν Δημοσθένη (or καὶ μὴν οὗτος ὁ Δ., εἰ μή, etc.).
6. βουλοίμην ἄν, ἐὰν ἐάσῃς, ἀκούειν τοῦ Δημοσθένους.
7. ἆρ' ἄν μοι πίθοιο, εἴ σοι τἀληθὲς λέγοιμι;
8. ῥᾳδίως ἂν ἐνίκησαν οἱ Ἕλληνες τοὺς βάρβαρους.
9. τοῦτο οὐδ' ἂν εἷς ἀπαρνοῖτο εἰ ἀκούσειε.
10. ὅμως δὲ βουλοίμην ἂν μᾶλλον ἐλεύθερος εἶναι ἢ χίλια ἔχειν τάλαντα.
11. εἰ ἥλιος δέδυκε, καιρὸς ἤδη ἀπιέναι οἴκαδε.
12. ἐάν σε καταλάβω αὖθις ἐνθάδε ὄντα, ὦ μαστιγία, κλαύσει.
13. εἰ αἰτοίην ἀργύριον, ἆρ' ἂν δοίης;
14. κἂν αὐτὸς ἤκουσας, εἰ παρεγένου.
15. εἰ πλείω εἰδείης, μείω ἂν λέγοις.

10.

1. οἴεται νικᾶν δυνηθήσεσθαι.
2. ᾤετο νικᾶν δυνηθήσεσθαι.
3. ἐκέλευσεν ἡμᾶς ὡς τάχιστα ἐξιέναι.
4. οἱ στρατιῶται ζωγρηθέντες ἠγγέλθησαν.
5. ᾔδειμεν ἁμαρτάνοντες.
6. ἐλπίζω πάντα σοι προχωρήσειν.
7. ἐνουθέτησεν αὐτοὺς μηκέτι μέλλειν.
8. οὐκ ἔφη αὐτὸς ἡμῖν βοηθήσειν.
9. ᾐσθόμεθα ἤδη ἀνωφελὲς ὂν προβαίνειν.
10. ἐμέμνηντο ὡς ἐκέχρηστο ἢ Λακεδαίμονα ἢ καὶ βασιλέα Λακεδαιμόνιον ἀπολεῖσθαι.

11. οὔ φημι ταῦτα οὕτως ἔχειν.
12. οἶδα ταῦτα ψευδῆ ὄντα.
13. ὁ μὲν οὐκ εἴασε φλυαρεῖν ἡμᾶς.
14. ἀντείπομεν δὲ ὡς οὐ φλυαροῦμεν.
15. ὑπέσχετο ὡς τάχιστα ἐπανιέναι.

11.

1. οἶδά σε ὅστις εἶ καὶ ὅποθεν πάρει.
2. ἔγνωκα ὅποσον ἡμάρτηκα.
3. εἰπέ μοι πότερον τοῦτο ἀληθές ἐστιν.
4. οὐ ῥᾴδιον τὸ διαγνῶναι ὅτι ἡμῖν ποιητέον.
5. ὑπέσχοντο ὅσα αἰτοῖμεν ποιήσειν.
6. εἰ μὴ ἐμαχέσαντο οἱ Ἀθηναῖοι, δοκοῦσί μοι ἀποστῆναι ἂν οἱ σύμμαχοι.
7. ἔφη ἀπιέναι εἰ τοῖς φίλοις ἐπανελθεῖν ἐξείη.
8. ἆρα οἶσθα τὸν Σωκράτη διὰ τί ἀπέθανεν.
9. ἀπέστειλα πευσόμενος ὅποσοι ἀφίκοντο.
10. οὐδαμῶς ὑπενόησα ὁποῖός τις ὁ Χαιρεφῶν εἴη.
11. ἤρετο ὅτι πεποιηκότες εἶμεν καὶ ὅτι μέλλοιμεν ποιήσειν.
12. οἶμαι καμεῖσθαι ὑμᾶς ἐὰν πορρωτέρω ἴητε.
13. οὔθ' ὅποι πορευόμεθα ἴσμεν οὐθ' ὅποσοί ἐσμεν.
14. εἰπέ μοι ὅτι λέγω· λέξω γὰρ ἐὰν δυνῶμαι.
15. ἠγνόει ὅτι χρήσαιτο ἑαυτῷ.

12.

1. τοὺς Ἕλληνάς φησι νικῆσαι ἂν δυνηθῆναι τοὺς βαρβάρους.
2. δίκην δώσειν φημί, εἰ ἡμάρτηκα.

3. πλουσιώτερος ἔφη ἂν γενέσθαι, εἰ ηὗρε τὸν θησαυρόν.
4. δυνήσασθαι ἂν ποιεῖσθαι νομίζει τὸν περίπατον, εἰ ἐπειράσατο.
5. αὐτόν σε, εἰ παρεγένου, ἀκοῦσαι ἂν ἔφη.
6. ἧττον ἔφασαν λέγειν ἄν τινα, εἰ πλέον γνοίη.
7. ἐὰν εὕρῃ δραχμήν, φησί μοι δώσειν.
8. πλούσιοι ἔφασαν γενήσεσθαι, εἰ ἐργάζοιντο.
9. ἔφησθα λέξαι ἂν εἰ μὴ ἐκωλύσαμεν ἡμεῖς.
10. ῥᾴδιον ἂν εἶναι ἔφη ἰδεῖν αὐτοὺς εἰ ἔλθοιεν.
11. οὔ φησιν ἐργάσεσθαι οὔποτε, ἐὰν γένηται δοῦλος.
12. ἡδέως ἀκούσεσθαι ἔφασαν, εἰ λέγοις.
13. οὐκ ἔφη σε κωφότερον ἂν εἶναι, εἰ λίθος ἦσθα.
14. οὔ φησι πρᾶξαι ἂν τοῦτο, εἰ σοφὸς ἐγένετο.
15. νῦν λέξειν φησίν, εἰ καὶ μήποτε αὖθις.

13.

1. ἤροντο ὅποσοι στρατιῶται ἐς τὴν πόλιν ἀφιγμένοι εἶεν.
2. ἀπορῶ ὅποι καταφεύγω.
3. οὐκ εἴα τοὺς ἄνδρας ἀθυμεῖν } · ἐς σωτηρίαν γὰρ
or ἐκέλευε . . . μὴ . . } ἄξειν αὐτούς.
4. ἡ πόλις ἁλοῦσα ἠγγέλθη (or ἀγγελία ἦλθε τῆς πόλεως ἁλούσης).
5. ἤρετο εἰ τοὺς αἰχμαλώτους ἀποκτείνειε οὓς ἔτυχεν ᾑρηκώς.
6. ἀποδεικνύναι δύναμαι ὅπῃ οἱ πολέμιοι ἔρχονται.
7. ἔφη αὐτὸς μὲν ἰέναι ἡμᾶς δὲ περιμένειν δεῖν.

8. οὐπώποτε ὑπωπτεύσαμεν ὁποῖα κινδυνεύσειν ἠμέλλομεν.
9. ἀνθέξειν ὑμᾶς ᾠόμην ἕως βοηθοίην.
10. μὴ ἐρωτήσῃς τί ἐγένετο.
11. οἶδα ἡσσηθέντας ὑμᾶς.
12. οἶδα ἡσσηθέντας ἂν ὑμᾶς.
13. οὐκ οἶδα ὅτι δρῶ οὐδὲ ὅποι ἴω.
14. ἔφη ἀποκρινεῖσθαι εἴ τι ἐρωτῴην.
15. ἀπορῶ ὅτι χρήσωμαι τούτῳ τῷ ἵππῳ.

14.

1. ᾔδειν ἁμαρτάνων, ἀλλ' οὐκ ἔφη δίκαια δρᾶν δύνασθαι οὐδὲ εἰ πειρῷτο.
2. ἤροντο εἰ τὴν πόλιν τοῖς Κορινθίοις παραδοῖεν.
3. λέγοις ἂν ᾗπερ Ἀθήναζε πορευτέον ;
   δεικνύοις ἂν τὴν ἐς Ἀθήνας ὁδὸν φέρουσαν ;
4. πειράσομαι πυθέσθαι ὅποσοι ᾑρημένοι εἰσίν.
5. ᾤετο τοιοῦτος ἂν γενέσθαι εἰ σοὶ συγγένοιτο.
6. αὐτὸς μὲν ἀποφεύγειν ἠπίστατο· τοὺς δὲ ἄνδρας οὐκ ἔφη ἕπεσθαι ἐθέλειν.
7. ἄπορῶ ὅτι φῶ.
8. ᾐσθόμην ἀνωφελὲς ὂν πλείω ἐρωτᾶν.
9. οἶμαι ἡμᾶς δικαίως ἂν τοσοῦτο ὑποσχέσθαι.
10. πῶς δὴ ἐλπίζετε τοσαῦτα πράξεσθαι ;
11. ἔφη οἴκαδε ἂν ἐπανελθεῖν, εἰ μὴ νὺξ ἦν.
12. ἔφαμεν ἡδέως ἂν δέξασθαι αὐτὸν εἰ ἔλθοι.
13. οὐκ ἔφη ταῦτα ἂν πιστεῦσαι μή γε αὐτὸς ἑωρακώς.
14. ἐρωτῴην ἂν τί βουλόμενοι οὕτω θορυβεῖτε.

15.

1. ἐπριάμην τόνδε τὸν ἵππον ἵνα χρήσωμαι αὐτῷ.
2. ὅπως μὴ ἀφήσεις τοὺς αἰχμαλώτους, εἰ δὲ μή (or ἐπεὶ) ἀποκτενοῦσί σε.
3. ἦλθον πρὸς Κόρινθον ἵνα μαχοίμην ὑπὲρ τῆς πατρίδος.
4. ἆρ' οὐ φοβεῖ μὴ μαχόμενος ἀποθάνῃς ;
5. χιλίους δούλους ἐπριάμην ἵνα ἐργάζοιντό μοι ἐν τῷ ἐργαστηρίῳ.
6. ἐφοβούμεθα μὴ νεωτερίζοιέν τι οἱ πολῖται.
7. ὅπως μὴ ἀναγνώσει ἐκεῖνο τὸ βιβλίον· ἐπεὶ πιθοῦ μοι, οὐκ ἄξιόν ἐστιν.
8. ἐπιμελητέον ὅπως μὴ ἐπιθήσονται οἱ πολέμιοι.
9. ἦ δέδοικας μὴ οὐχ οἷός τε ᾖς αἱρεῖν ταύτην τὴν πόλιν ;
10. εἰ ἥκεις ἵνα ἴδῃς ἐμέ, εὖ ἴσθι με μὴ ἔνδον ὄντα.
11. φοιτῶ ἐς διδασκάλου ἵνα μανθάνω, ἀλλ' οὐδὲ ἀναγιγνώσκειν δύναμαι.
12. ἔφερον τουτὶ τὸ ἱμάτιον ἵνα με στέγοι, εἰ ὕοι.
13. βούλομαι Ἀθήναζε ἰέναι ἵνα ἰδῶ τὰ ἐκεῖ ἱερά.
14. οἶδά σε δεδοικότα μὴ λάθω σε ἀποφυγών.
15. δεῖ αὐτοὺς ὡς τάχιστα ἀπιέναι, ἵνα μὴ νοσῶσιν.

16.

1. ἀπήλθομεν οἴκαδε, ἵνα ἴδοιμεν τὴν μητέρα, ἡ δὲ ἐκώλυεν ἡμᾶς κατιέναι.
2. τί εἴργει σε μὴ οὐκ ἀναγνῶναι ἐκεῖνο τὸ βιβλίον, εἰ φοιτᾷς παρὰ διδάσκαλον ;

3. ἐφοβοῦντο οἱ στρατιῶται μὴ ἅλοιη ἡ πόλις.
4. οἱ βάρβαροι ἐπεληλύθασιν ἐπὶ τὴν Ἑλλάδα ἵνα καταδουλῶσιν.
5. εἰ ἦλθον ἵνα ἴδοιμι τοὺς νεώς, ἐκώλυσα ἄν σε καταλαβεῖν ἐμέ.
6. ἔσθ' ὅπως δύνασαι κλέπτειν τοὺς κλέπτας.
7. ὅπως μηδεὶς εἰσβήσεται ἐκεῖσε ἀπόντος ἐμοῦ.
8. πρᾶξον ὅπως μὴ ἀπατήσει σε ὁ δοῦλος, ἐὰν δυνῇ.
9. ὅπως ἄνδρες ἔσεσθε, μή τι κάκιον γένηται.
10. ἐπιμελήσομαι ὅπως ἔσται οἷ ἴω.
11. ἐὰν σὺ κωλύσῃς κλέπτειν τοὺς κλέπτας, ἐγὼ κωλύσω τοὺς ψευστὰς ψεύδεσθαι.
12. κωλυτέον τοὺς πολεμίους αἱρεῖν τὴν ἐν τῷ πεδίῳ πόλιν.
13. ὅπως μαθήσει πόσοι ἄνδρες ἑαλώκασιν.
14. ἐπιμελήσομαι ὡς μάλιστα ὅπως μὴ γενήσεται τάδε.
15. οὐκ εἴρξω δεινὸν ἄνδρα μὴ οὐ λέγειν οὔποτε.

17.

1. μετῆλθεν αὐτὸν τοξότης τις ὡς ληψόμενός τε καὶ ἀπάξων ἐς τὸ δεσμωτήριον.
2. ταῦτ' ἐποίησαμεν, ἵνα μὴ ἴδοιεν ἡμᾶς οἱ στρατιῶται.
3. εἴρξω μὴ κλέπτειν μηδένα ἐνθάδε, τὸ κατ' ἐμέ.
4. ὅπως μὴ ἐρεῖς ἀπὸ σκοποῦ, ἐὰν δυνήθῃς.
5. εἴθ' ὤφελες παρεῖναι, ἵνα ἤκουσας τοῦ Δημοσθένους.

6. πρὶν μὲν ἐκωλύομεν ἅπαντας ἐσελθεῖν, πλὴν ἡμῶν αὐτῶν.
7. ἦλθον πρέσβεις χιλίους ἔχοντες δούλους, ὡς εἰρήνην αἰτησόμενοι.
8. εἰ ἠπιστήθην τί χρὴ δρᾶν, ἐπεμελησάμην ἂν ὅπως παύσοιμι τὸν θόρυβον.
9. ἀπέστησαν οἱ σύμμαχοι ἵνα μάθοιεν ὅτι μέλλοιμεν δρᾶν.
10. Ἀθήναζε ἐκομίσθησαν οἱ αἰχμάλωτοι ὡς ἀποθανούμενοι.
11. ὡς ὤφελον ἐκεῖ παρεῖναι, ὅπως ἤκουσα ταὐτά σοι.
12. ἐπέστειλαν οἵτινες βουλεύσονται περὶ εἰρήνης.
13. ἐχρῆν σε παρεῖναι ἐς καιρὸν, ἵνα μὴ ἀναλώθη μάτην ταῦθ' ἃ ἐπράξαμεν.
14. ἀποστελοῦμεν πρέσβεις διαπράξοντας ὅπως παραδοθήσεται ἡ πόλις.

18.

1. ὅρα εἰ μὴ αὐτὸς οἷός τ' εἶ ἀμύνειν ἐμοί.
2. ὅρα μή τι νέον δράσῃ.
3. φαρμάσσειν μ' ἐθέλεις ἵνα ταραχθῶ.
4. ἀνεκλίνετο μεταξὺ αὐτῶν ἵνα χωρίζοι.
5. ἐπειδὰν εὕρωσιν τὸν ἡγησόμενον, πάντα ποιοῦσιν ὅπως γενήσονται ὅμοιοι.
6. ἐπειρᾶτο καθέλκειν τὰς ναῦς ὡς οἴκαδε ἀποπλευσόμενος.
7. φοβοῦμαι μὴ εἴπω γελοῖα μὲν οὔ, καταγέλαστα δέ.
8. χρὴ οὖν εὐσεβεῖν ἐς τοὺς θεούς, μὴ ὀργισθῶσιν.

9. σίγα, ἵνα ἀκούωμεν ἑκάστου τῶν ἄλλων, τί λέγει.
10. οὐκ ἤγειρέ με ἐπίτηδες, ἵνα ὅπως ἥδιστα διάγοιμι.
11. ἅπασαν τὴν νῆσον ἐξηρεύνα ἀπὸ τῆς θαλάσσης εἰς τὴν θάλασσαν, ἵνα μηδεὶς ἀποφύγῃ.
12. ὅπως πᾶσαν ἀεὶ παρέξεις σπουδήν, ἵνα καὶ τοὺς πάλαι ὑπερβάλλῃς τῇ δόξῃ.

19.

1. ἕως ἔμενον οἴκοι, ὑλάκτουν οἱ κύνες.
2. μενῶ μέχρις ἂν ὁ ἥλιος ἀνατέλλῃ.
3. μὴ ἄπιθι πρὶν ἂν ἔλθῃ ὁ ἰατρός, μή πως ἀποθάνῃ ὁ νοσῶν.
4. ἐὰν μένω ὅσον ἂν χρόνον ἡμέρα ᾖ, λήσεται ἀπιών.
5. πρὶν ἅπαξ λέγειν, δὶς φρόνει. αὕτη γὰρ ἡ σωφροσύνη.
6. καθίζου μὲν, ἐὰν ἐθέλῃς, ἀλλὰ μὴ πρὶν ἂν ἐμὲ πείθῃς.
7. πολὺν ἤδη χρόνον διελεγόμεθα πρὶν ἐλθεῖν σε.
8. ἔφη χρῆναι μένειν με ἕως γένοιντο οἱ ἀγῶνες.
9. πρὶν παρελθεῖν ἡμᾶς ἠφάνισεν αὐτὸν αὐτῷ ἵππῳ.
10. κατὰ χώραν ἔστη ἕκαστος, εἰς ὃ ἔμαθον προδοθέντες.
11. ἐφυλάσσομεν ἕως κατάδηλοι ἐγένοντο οἱ πολέμιοι ἐξ ἐνέδρας.
12. δοκῶ μοι φωνὴν ἀκούειν ἀπαγορεύουσαν μὴ ἀπελθεῖν πρὶν ἂν ἀφοσιώσωμαι.
13. ἐπαίζομεν μέχρις οὗ ἅπαντες ὡς μάλιστα ἀπείπομεν.

14. οὐκ ἐχρῆν νουθετεῖν ἡμᾶς πρὶν ἔμαθον ὅτι δέοι λέγειν.
15. ἐντεῦθεν οὐκ ἔξιμεν πρὶν ἂν εἴπῃς ὅτι ἐν νῷ ἔχεις.

20.

1. ἐπεὶ ἤκουσαν ὅτι ἐγένετο, προσῇσαν πρὸς τὴν πόλιν.
2. ἐφ' ὅσον οἴκοι ἔμενον, εὐτυχέστατος ἦ ἀνθρώπων.
3. οὐκ ἀφήσω σε πρὶν ἂν δράσῃς τοῦθ' ὅτι χρῄζω.
4. ἡσύχαζον ἕως τὰ ζῷα παχέα ἐγένετο οὐθ' ἱκανὰ ἐργάζεσθαι.
5. νῦν δὲ κατὰ καιρὸν ἐξῇξαν οἱ πολέμιοι ἐκ τοῦ χωρίου.
6. ἑπτὰ ἡμέραι ἦσαν ἐξ οὗ κατελήφθησαν αἱ Ἀθῆναι.
7. μενόντων ἡμῶν ὗεν, χειμὼν γὰρ ἦν.
8. ἐπεὶ τάχιστα παρεγενόμεθα, ἠρχόμεθα φαγεῖν τε καὶ πιεῖν.
9. ἐπειδὰν τελευτὴν ἔχῃ ἡ στρατεία, δυνήσομεθα κατελθεῖν οἴκαδε.
10. ἐξ οὗ ἦλθον Ἀθήναζε, φοιτῶ παρὰ διδάσκαλον.
11. ἕως ἂν σὺ ἡγῇ, μεθέψομαι ἐγώ, εὖ ἴσθι ὅτι.
12. ἐν ᾧ ἂν μέλλῃ, σῷοί ἐσμεν, ἐὰν μὴ καταποντισθῇ ἡ ναῦς.
13. ἐν ᾧ ἔλεγεν, ἐξῆλθον οἱ παρόντες ὡς ὀψόμενοι τί γίγνεται.
14. ἕως ἂν δύνωμαι, ἐπαμυνῶ τοῖς φίλοις.
15. ἐξήλθομεν ὕδωρ κατακομιοῦντες πρὶν ἡμέραν γενέσθαι.

21.

1. οὐ μὴ παύσωμαι πειρώμενος ἕως ἂν ζῶ.
2. οὐκ ἔφη παύσεσθαι πειρώμενος ἕως ζῴη.
3. οὐ δεῖν σε φημὶ αἰτιᾶσθαι οὐδένα πρὶν ἂν γνῷς τὰ πεπραγμένα.
4. εἰ ἔξεστι, τὰ ὀρνίθιά σου φυλάξω ἐν ᾧ ἂν ἀποδημήσῃς.
5. ἐπιμελήσομαι ὅπως φυλακὴν καταστήσω, σοῦ ἀπόντος.
6. οὐκ ἐνόμιζόν σε δράσειν οὐδὲν ἕως κατέλθοιμεν.
7. οὐκ ἐνεδίδοσαν πρὶν ἐκυκλώθησαν.
8. οὐκ ἐάσω ἐσελθεῖν οὐδένα πρὶν ἂν μάθω τί ἐθέλει.
9. ἐμάχοντο ἕως κατέδυ ὁ ἥλιος.
10. οὐ χρὴ πέρδικας ἐξελθόντα τοξεύειν πρὶν ἂν ἔλθῃ ἡ κυρία ἡμέρα.
11. σπονδὰς ἐποιοῦντο ἕως κατέλθοιεν οἱ πρέσβεις.
12. ἔμενεν, ὡς οἴομαι, ἐς ὃ κατεπόθη ὁ οἶνος ἅπας.
13. οὐ δεῖ χρῆσθαι ἵππῳ πρὶν ἀποδοῦναι τὸν μισθόν.
14. οὐχ ἑάλω ἡ πόλις πρὶν ἐτραυματίσθησαν ἅπαντες οἱ ἐνόντες στρατιῶται.
15. ἴσως τι καὶ κομιούμεθα, ἐὰν μένωμεν ἐς μεσημβρίαν.

22.

1. ὅποτε οἱ Πελοποννήσιοι ἐς τὴν Ἀττικὴν ἐσβάλοιεν, τὴν γῆν πολλὰ ἔβλαπτον.
2. τῷ Νικίᾳ ἔτυχον διαλεγόμενος, ὡς παρεγένου.
3. οἱ Ἕλληνες πάντας ἐστεφάνουν ὅσοι νικῷεν.

4. ὅταν ἐμὲ ἀποκαλῇ τύπτω αὐτόν.
5. ὅτι φέρων τύχοιμι τούτου ἀεὶ μεθιέμην.
6. ὅποτε Ἀθήναζε ἀφίκοιτο τὸν Σωκράτη ἐξευρίσκειν ἐπειρᾶτο.
7. τοῖς φίλοις ἀεὶ ἐχαρίσατο ὧν μὴ χρείαν ἔχοι.
8. ὅποι ἂν ἀφικῇ περὶ πολλοῦ ποιήσονταί σε.
9. ὁσάκις λέγειν πειρῷτο τὸ πλῆθος ἐθορύβει.
10. ἐκεῖσε ἀεὶ ἐφοίτων ὅποι τοῖς φίλοις ἐντεύξεσθαι μέλλοιμι.
11. ὅποτε ἐς διδασκάλου φοιτῴην ἔδει με βιβλία ἀναγιγνώσκειν.
12. ὅσα μετὰ χεῖρας ἔχοι ταῦτα ἀεὶ κατώρθου.
13. κομιεῖ παρ' ἐμοῦ ἅπαντα ὧν ἂν χρείαν ἔχῃς.
14. ὡς ἡ πόλις ἑάλω, οἱ στρατιῶται ἅπαντες ἀπέθανον.
15. ὅποτε πόλις ἁλοίη, οἱ ἔνδον ἠνδραποδίζοντο.

23.

1. ὅποτε δημηγοροίην οὐκ ἤθελον ἐπακούειν λέγοντος.
2. ὅταν κίνδυνον ἐπιόντα ὁρῶσιν, ἐς φυγὴν καθίστανται (φυγῇ σῴζονται).
3. ὅντινα ἴδοι τοῦτον ἀεὶ ἐλοιδόρει.
4. πίνω ἐπειδὰν τάχιστα ἐργαζόμενος παύωμαι.
5. ὅσα παῖς ὢν μάθοιμι τούτων ἀεὶ ἐμεμνήμην.
6. ὅποτε ὁ πολέμιος ἐμὲ ἴδοι ἀποκτείνειν ἐπειρᾶτο.
7. ἆρα μένωμεν ἕως ἂν οἱ φίλοι ἐπιβοηθῶσιν;
8. ἃ μήποτε ἑώρακα, πῶς ταῦτα διηγεῖσθαι δύναμαι;
9. ὅταν ὁ τοξότης τινὰ καταλάβῃ ἐς φυλακὴν καθείργει αὐτόν.

10. ὅταν σπενδώμεθα τῶν πόνων παυσόμεθα.
11. οὐ τοιαῦτα χρὴ λέγειν οἷα μήτις συνίησιν.
12. εἰσὶν οἳ μηδὲν ἔχουσιν· ἔστιν ὃς οὐδὲ ἔχειν βούλεται.
13. ἀπέθνῃσκον δημοσίᾳ ὅσοι πολέμῳ ἁλόντες Ἀθήναζε φέροιντο.
14. καταδεδυκυίας τῆς νεὼς οἱ ναῦται κατεποντίσθησαν.
15. ἐπειδὴ τάχιστα φανείης ἑτοῖμος ἦν ἰέναι.
16. ἔφη ἑτοῖμος εἶναι πορεύεσθαι ἐπεὶ ἐφάνης.

24.

1. σπονδαὶ ἐγένοντο, ἐφ᾽ ᾧ τε μηδετέρους προσβολὴν ποιεῖσθαι.
2. οὕτω σοφὸς εἶ ὥστε εἰδέναι ἀποθανεῖν δημοσίᾳ τὸν Σωκράτην.
3. οὐκ ἂν εἴην οὕτω μῶρος ὥστε τοῦτο πιστεύειν.
4. σπονδὰς ἐποιοῦντο, ὥστε βραχύ τι ἀναπαύεσθαι ταλαιπωροῦντες.
5. οὕτω πλούσιοί εἰσιν, ὥστε οὐκ ἴσασι τί χρήσωνται τῷ ἀργυρίῳ.
6. οἷος ψεύδεσθαί ἐστιν, ἐάν τι πλέον ἔχῃ.
7. ἤλθομεν ὥς σὲ ὠφελήσοντες, σὺ δὲ οὕτω σεμνύνει ὥστε ἡμῶν καταφρονεῖν.
8. οὕτω διέπρασσεν, ὥστε πᾶς τις ἐπείσθη τεθνηκέναι αὐτόν.
9. δραχμὴν σοι δίδωμι, ἐφ᾽ ᾧ κωλύσεις τὸν ἵππον ἀποφυγεῖν.
10. οὕτω γεραιός εἰμι, ὥστε οὐχ οἷός τ᾽ εἰμὶ οὔθ᾽ ὁρᾶν οὔτ᾽ ἀκούειν οὐδέν.

11. τοιοῦτόν τι εἶπεν ὥστε ἐς ὀργὴν καταστῆναι ἅπαντας.
12. ἡ εἰρήνη ἐγένετο, ἐφ᾽ ᾧ τε ἑκατέρους ἔχειν ἃ ἔχουσιν.
13. ἐνταῦθα μενοῦμεν, ὥστε οὐχ ἕξουσιν οἱ πολέμιοι ἰδεῖν ἡμᾶς.
14. μείζων αὕτη ἡ λύπη ἢ ὥστε φέρειν.

25.

1. τοιούτους εἶναί φησιν οἵους καὶ ὁτιοῦν δρᾶν ὥστε κατορθοῦν ὧν ἐφίενται.
2. οὐδείς ἐστιν οὕτω μῶρος, ὥστε μὴ εἰδέναι ὅτι δεῖ ἀποθανεῖν.
3. χρή σε τοσοῦτον μόνον ἐσθίειν ὅσον ἀποζῆν.
4. οὕτως εἰμὶ ἀνδρεῖος, ὥστε οὐδεὶς τολμᾷ ἀντιστῆναι.
5. οὐ τοιοῦτοί ἐσμεν οἷοι ἀποφυγεῖν μεταξὺ δειπνοῦντες.
6. πλοῦτον ἐκτήσω οὕτως ὥστε πανοῦργος γενέσθαι.
7. τοιαύτην πέμψω ἐπιστολήν, ἀφ᾽ οἵας τὸν ἄνδρα ἀποκτενοῦσιν.
8. βαρύτερα κελεύεις ἢ ὥστε ἐμὲ πείθεσθαι.
9. οὐ δεῖ ὑμᾶς τοιούτους εἶναι οἵους κλέπτειν ἵνα εὐπορήσητε.
10. σχεδὸν ἤδη ἥκω, ὥστε πῶς ἂν δυναίμην τὰ ὄντα σοι λέγειν ;
11. μὴ οὕτω μῶρος ἴσθι ὥστε πιστεύειν τῷ τοιούτῳ ἀνθρώπῳ.
12. οὐκ ἐσμεν οὕτω σοφοὶ ὥστε ἀποφυγεῖν.

13. οὕτως ὑψηλὸς ἦν ὁ πύργος, ὥστε οὐκ ἠδύνατό μ' οὐδεὶς ὁρᾶν ἐπ' αὐτῷ ἐφεστῶτα.
14. θερμότερον ἦν τὸ πῦρ ἢ ὥστε μένειν ἐμὲ ἔνδον.

26.

1. ἀξιῶ σε βοηθεῖν μοι κατὰ τὸ συγγενές.
2. διὰ ταῦτα οὐκ ἤθελεν οὐδεὶς ἐξελθεῖν πρὶν ἔλθοι ἡ νύξ.
3. δέκα ἔχων ἵππους, ἡδέως ἄν σοι δοίην ἕνα.
4. οὐκ εἶδον οὔποτε ἀναιδέστερον οὐδένα σοῦ, καίπερ γέρων ὤν.
5. οὐκ ἐνόντων σιτίων ῥᾳδίως ἑάλω ἡ πόλις.
6. οὔκ εἰμι οἷος ἀποκτείνειν τινὰ ἔχθρᾳ.
7. διὰ τί ἦλθες, ἔχων γε καλὴν οἰκίαν ἐνοικεῖν ;
8. νικηθέντες εἰρήνην αἰτούμεθα.
9. αἰσχύνονται οἱ Ἕλληνες ὑπὸ βαρβάρων νενικημένοι.
10. ἆρα θαυμάζεις εἰ σοῦ ἀμνημονῶ καίπερ φίλος ὤν;
11. οὐκ ἂν ἤθελον λέγειν σοι ὃ εἰδείην οὐδ' εἰ ᾔδη αὐτό.
12. ὄντος γε ψύχους, ἅψωμεν δὴ πῦρ ὡς θερμανοῦντες ἡμᾶς αὐτούς.
13. τέλος ἄρα εἶχεν ἥδε ἡ ὑπόσχεσις καίπερ οὖσα μανιώδης.
14. ἐνίκησα ἂν αὐτόν, καίπερ ἰσχυρὸν ὄντα, εἰ μὴ ἀπέδρα.
15. ἐπεί μοι πιστεύεις, ἐγώ σοι δείξω ὅπως ἀποφεύξει.

27.

1. ἐπεὶ αἰσθάνομαί σε μωρότερον ὄντα ἢ ὥστε πείθεσθαι, σιγῶ.
2. διὰ τοῦτο οὐκ ἔδρασαν οὐδὲν ὥστε μὴ ἀποφυγεῖν αὐτόν.
3. φιλεῖς μὲ σὺ γέροντα νέος.
4. εἰ καὶ χείμων ἐστί, δεῖ ἡμᾶς πλεῖν ὡς τάχιστα.
5. μὴ οὕτω μῶρος ἴσθι ὥστε δηλοῦν ὅστις εἰμί καίπερ εἰδώς.
6. πάντα ἐποίουν καθάπερ ὑπέσχοντο ὥστε παύειν τὸ κακόν.
7. ὑστέριζον μέντοι τοῦ ὠφελεῖν τοὺς ἁλόντας.
8. πειράσομαί σε πείθειν, καίπερ οὐ δεινὸς ὢν λέγειν.
9. ἐκάκιζον ἐμέ, διότι χρόνον διατρίβοιμι δὴ ληρῶν.
10. οἷός τ' εἰμὶ ἰδεῖν σε, τί ποιεῖς, εἰ καὶ ἡσυχάζεις.
11. συγγιγώσκω σοι καίπερ οὐ σμικρὸν ἁμαρτόντι.
12. συμμαχίαν αἰτούμεθα κατὰ παλαιὰν φιλίαν.
13. πολλὰ πέπονθας ἅτε μῶρος αὐτὸς γενόμενος.
14. ἐπεὶ οὐκ ἠδύνω ἀγρεῦσαι τὸν λάγω, μὴ ἐψήσῃς αὐτόν.
15. οὐ πλούσιος ὢν οὕτως εὖ φρονῶ ὥστε εὖ ἀναλίσκειν τἀργύριον.

28.

1. διὰ νόσον.
   διὰ μακροῦ.
   πρὸς τούτοις.
   ἐς διακοσίους.
   ὑπὲρ τὴν θάλασσαν οἰκεῖν.
   οἱ ἀμφὶ Πλάτωνα.
   πρὸ τῶν Τρωϊκῶν.
   πλεῖν διὰ τῆς λίμνης.
   ὑπὸ νύκτα. ἅμα τῇ ἕῳ.
   κατὰ / περὶ } τὸν αὐτὸν χρόνον.
   μέχρι τούτου.
   ὑπὲρ τὴν ἀξίαν.

2. πλεύσαντες διὰ τῆς θαλάσσης παρὰ βασιλέα ἐφοίτων.
3. ἐπορεύοντο διὰ τῆς ὕλης διὰ τὰ θάλπη.
4. ἐπὶ μὲν Περικλέους οἱ Ἀθηναῖοι ηὐδαιμόνουν· ἐν δὲ τῷ πολέμῳ πολλὰ καὶ κακὰ ἔπασχον.
5. παρὰ μίαν νύκτα ἦλθε τὴν πόλιν ἑλεῖν.
6. παρ' αὐτὸ τὸ ἀδίκημα τὸν ἀδικοῦντα δίκην ὑπέχειν χρή.
7. οὐκ ἄνευ θεῶν ἀπεφύγομεν.
8. ἐπ' ἐμοί ἐστι τοῦτο διαγνῶναι.
9. περὶ τὰ τείχη ἐμάχοντο περὶ τῆς πόλεως.
10. περὶ τῇ πατρίδι ἐφοβούμεθα.
11. παρὰ τῷ αὐτῷ ποταμῷ βραχὺ ἀναπαυσάμενοι μετὰ τοὺς φυγάδας ὡρμῶντο.
12. καθ' ἡμέραν ἐπιδίδωσι τὰ πράγματα ἐπὶ τὸ κάκιον.
13. ἐν ἐμοί ἐστιν τοὺς ἀμφὶ Πλάτωνα ἐξελέγχειν.

29.

1. μετ' ἐκεῖνον τὸν χρόνον οἱ δοῦλοι {κατ' ἀναπαύλας / κατὰ διαδοχὴν} εἰργάζοντο.
2. ἐπ' ἴσοις ἐσπείσαντο.
3. πρὸ τοῦ πολέμου εὖ ἔπρασσον, μετὰ δὲ ἠπόρουν.
4. μὰ τοὺς θεοὺς οὐ μήποτε ἀποφύγῃς.
5. οἱ φίλοι καθ' ἕνα ἐξῇσαν· πρὸς οἷς καὶ αὐτὸς ἐξῄει.
6. ἀπήντησαν ἡμῖν ἐπ' οἴκου πλέοντες.
7. τῶν πολεμίων ἐπιόντων κατὰ χώραν ἔμενον.
8. ἅμα πολεμοῦντες πολλὰ ἐδαπάνων.

9. ἡ πόλις πάντας ἐν τιμῇ ἔχει ὅσοι κατὰ τοὺς νόμους πολιτεύονται.
10. ἀεὶ κατ' ὀλίγα ἔτη στάσεις ἐποιοῦντο.
11. τὸ κατ' ἐμὲ πάντα ἑτοῖμά ἐστιν.
12. ἥδιον ἂν ἐν ἄστει ἢ κατ' ἄγρους ἂν διαιτῴμην.
13. δεινόν ἐστιν πρὸς τῶν ἐχόντων τοὺς νόμους τίθεσθαι.
14. ἀλλ' οὐκ ἐν ἐμοί ἐστιν· εἰ γὰρ δυναίμην, βοηθοίην ἄν σοι.
15. βιβλία ἐν ᾧ δύνασαι ἀναγνῶθι· οἱ γὰρ τυφλοὶ ἀντὶ πολλοῦ ἂν δέχοιντο τὸ ἀναγνώσκειν δύνασθαι.

30.

1. πότερον μετ' ἐμοῦ ἂν ἐθέλοις ἐλθεῖν ἢ μετ' ἐμέ;
2. ἆρα λέγοις ἂν τὸ ὄνομά σου; ἀπὸ στόματος μὲν οὐκ ἄν.
3. ὅποιον ἂν ᾖ τὸ ἔργον, ἐργάζου κατὰ δύναμιν.
4. κατὰ τοῦ ἀδελφοῦ ὄμνυμι ἦ μὴν μὴ ποιήσειν τοῦτο μήποτε.
5. οὐκ ἂν εἴη ἐπ' ἔμοιγε οὐδ' εἰ βουλοίμην.
6. τρέχε σὺ κατὰ τάχος, ἐν ᾧ ἐγὼ μένω ἐνθάδε.
7. ἐν τῷδε μένοιμ' ἂν ἔγωγε ὅπου εἰμὶ δή.
8. πρεσβευτὰς ἔπεμψαν ὡς ἡμᾶς μετὰ ἱππέων τρισχιλίων.
9. εἶπεν ἀπὸ γλώσσης.
10. ἀπὸ σκοποῦ λέγεις.
11. ἐκ παιδὸς νοσῶ.
12. κατέλαβον ἡμᾶς οἱ πολέμιοι ἐξ ἀπροσδοκήτου.

13. ἐκ δεξιᾶς μὲν ἔκειτο ὁ ἵππος, ἐξ ἀριστερᾶς δὲ ὁ ἱππεύς.
14. μετὰ τῆς γάλω ἐπὶ τῆς Σάμου πλεύσομαι.
15. ὄμνυμι ἦ μὴν οὕτως ἔχειν, εἰ δὲ μὴ εἴθε ἀποθάνοιμι.
16. οὔ φησι δύνασθαι ὁ γραμματεὺς ἐλθεῖν σήμερον διὰ νόσον.
17. πρός γε τούτῳ, ἐξ οὗπερ ἐνόσησε, τυφλός ἐστιν.

31.

1. θαυμάζω εἰ ταύτην τὴν νίκην περὶ τοσούτου ποιεῖ.
2. περὶ ἑξήκοντα ἔτη πρὶν γενέσθαι ταῦτα ἐγενόμην ἐγώ.
3. τοὺς αἰχμαλώτους ἀπαγαγόντες κατὰ πεντήκοντα ἀπέκτειναν.
4. οὐχ οὕτως ἐπ' ἐμοῦ εἶχεν.
5. φρουροὶ διὰ τριάκοντα ποδῶν κατέστησαν.
6. παρὰ Τιμοκράτη παῖς ὢν ἐφοίτων.
7. ἐπ' αὐτοφώρῳ ἁλοὺς ἀπέθανεν.
8. ἐπεὶ τάχιστα ἐκ παιδῶν ἐξῆλθον ὑπὲρ τῆς πατρίδος ἐστρατευόμην.
9. ὁ ὄρνις κατὰ τῆς κεφαλῆς αὐτοῦ κατέσκηψεν.
10. εἰρήνην ἂν αἱροίμην μᾶλλον ἢ πόλεμον.
11. ἆρα πάντες ἐπὶ νεώς; πάντες πλὴν ἕνος, καὶ τούτου αὐτομόλου.
12. διὰ (or παρὰ) τὴν σὴν ἀμέλειαν ταῦτα ἐγένετο.
13. ταῦτα πρὸς οἷς ἤδη ἴσμεν φανεροῖ τὸ πᾶν.
14. ὁμολογῶ οὐ κατὰ τούτους εἶναι ῥήτωρ.

32.

1. ὅτε ἐγένετο ὁ λοιμός, αὐτὴ ἑαυτῆς δυνατωτάτη ἦν ἡ πόλις.
2. ἐψεύδετο ἀναιδέστατα, ὡς οὐκ εἶδε δὴ τοὺς ἀνθρώπους οὐπώποτε.
3. ἐκέλευσα μένειν ὥσπερ ἔχοιεν μή τι γένοιτο πλημμελές.
4. διηγήσομαι ὡς ἂν δύνωμαι διὰ βραχυτάτων.
5. πάντα ἐποίουν ὅπως μὴ πολὺς ῥυήσοιτο ὁ ποταμός.
6. ἐν τοῖς δικασταῖς λέγω πολλῷ χεῖρον ἐμαυτοῦ.
7. ἐχρῶντό μοι οἱ ἐχθροὶ παρανομώτατα ἁπάντων ἀνθρώπων.
8. ἐσῆλθον οἱ στρατιῶται ἐς τὸ χωρίον ὡς ἀδηλότατα ἐδύναντο.
9. σὺ ἐν τοῖς ἄριστα πολιτεύει τῶν νῦν.
10. ἦν μὲν ὁ Γαλάτης μείζων ἢ κατ' ἄνθρωπον τὸ σῶμα, ὥστε τέρας εἶναι τοῖς ἰδοῦσιν.
11. ψυχρὸν δὴ τὸ ὕδωρ σήμερον, οἶμαι, ὥστε λούσθαι.
12. ἐπειρᾶτο ἔργον ἑαυτοῦ πολλῷ μεῖζον.
13. χαίροντα οὖν αὐτὸν δέει τὸ πλεόν ἢ εὐνοίᾳ ἀφίεσαν.

33.

1. φοβοῦμαι μὴ ταὐτὰ ποιῇς ἐμοί.
2. φοβοῦμαι μὴ ταὐτὰ ποιῇς ἐμέ.
3. εἰ γὰρ γένοιτο πάντα ταῦτα.
4. ἢ μένε ἔνδον ἢ ὅπως ἀνὴρ ἔσει.

5. τὸν νεὼν ἔτι ἑστάναι φησὶ καίπερ σεισμοῦ γενομένου.
6. εἴθε παρῆσθα, ὥστε ὠφελεῖν με (or ἴνου ὠφέλεις με).
7. μὴ λήρει δή, ὡς κωλύσεις μ' ἄρα ποιεῖν τοῦτο.
8. πολλὰ καὶ κακὰ ἔπαθεν ἡ πόλις τοῦ χειμῶνος.
9. ἆρα ἐρῶ ὡς εἰμὶ δὴ τῶν ἀμφὶ Πλάτωνα;
10. πρὸς δὲ τούτοις, ἐκολάσθησαν διὰ τοῦτο ἐς τριακοσίους.
11. πάντα ποίει ὅπως σώσεις τὴν πόλιν τὸ κατὰ σέ.
12. ἆρα φοβεῖ μὴ παρὰ νύκτα γένῃ λαβεῖν τὴν πόλιν;
13. ἆρα ἐπὶ σοί ἐστι εἴργειν μὴ οὐκ ἀποφυγεῖν τοὺς αἰχμαλώτους;
14. ἕτοιμος εἶναι ἔφησθα νόμον θέσθαι πρὸς τῶν πενήτων.
15. εἴθ' ὠφέλομεν ἐσπεῖσθαι ἐπ' ἴσοις.

34.

1. ἀμείνω ἀγγέλλεις ἢ ὥστε ἀληθῆ εἶναι.
2. ὅπως μὴ ἡμᾶς τῶν δικαίων ἀποστερήσεις.
3. ἐξ ὅτου κατῆλθεν οὐκ ἔστιν ὅτε ἀποδεδήμηκεν.
4. εἴθ' ὤφελον ὅσων κακῶς πέπονθα ἐπιλανθάνεσθαι.
5. τὸ στράτευμα καίπερ γέρων ὢν ἐξήγαγεν.
6. καὶ Θήβαζε ἀφίκοντο καίπερ χειμῶνος ὄντος.
7. εἰ πλείω ἔγνως ἧσσον ἂν ἀπεκρίνω.
8. τοσοῦτος ἦν θόρυβος ὥστε μήτινα αὐτοῦ ἀκούειν λέγοντος.
9. ἀπέδρα, ὥστε οὐκ ἔστιν ὅπως οἶδεν ὁπότεροι ἐνίκησαν.
10. ἐδεήσατο ἡμῶν μὴ εἴργειν τὸ μὴ οὐκ ἐπανελθεῖν.

11. εἴ σοι ἐπείσθην, ἆρα ἐχαρίσω ἂν ὅσα ἀπῄτουν;
12. νυκτὸς ὁρμήσομαι ὥστε οὔτις αἰσθήσεται.
13. ἐν ἀπόρῳ ἔτι ἐσμὲν πότερον πόλεμον ἢ εἰρήνην αἱρετέα ἡμῖν ἐστιν.
14. λέγοις ἂν τί ἐμὲ ποιεῖν κελεύεις.
15. ἔδει σε παραγενέσθαι δημηγοροῦντος ἐμοῦ.

35.

1. εἰ μᾶλλον ηὐλαβήθης πάλαι ἂν ἐσώθης.
2. ἐὰν μὴ νυνὶ πρόνοιαν ἔχῃς, πάντως ἀπολεῖ.
3. εἰ ἐν ἐμοὶ ἦν ἀσμένως ἄν σοι ἐβοήθουν.
4. τοὔργον οὕτω ῥᾴδιόν ἐστιν ὥστε καὶ παιδὸς εἶναι ποιεῖν.
5. πιστότερός ἐστι φίλος ἢ ὥστε ἐμὲ ὧδε ἐξαπατᾶν.
6. ἔφη θᾶσσον ἂν ἀφικέσθαι εἴ σε ἐνθάδε παρόντα ᾔδειν.
7. εἰ ταῦτά σοι ἔδοξεν ἕτερόν τι ἔδει σε δρᾶσαι.
8. ἐφοβεῖτο μὴ ὑπὸ τῶν πολεμίων ἁλοίη.
9. πολὺς ἐπεγίγνετο θόρυβος ὥστε μήτινα τὰ λεγόμενα ἀκούειν.
10. ἐπίσχες ἕως ἂν τὰ ὄντα μάθῃς.
11. μὴ παραγενέσθαι ἀπαρνηθῇς.
12. τελείας ἤδη οὔσης τῆς νίκης οὕτω δὴ ἀπέψυξεν.
13. ἐλπίδ' ἔχω τὸν διδάσκαλον μὴ χαλεπαινεῖν μοι ταῦτα δράσαντι.
14. ὑπέσχετο πολλῷ πλείω ποιήσειν ἢ ὅσα τῷ ὄντι πεποίηκεν.
15. λέγοις ἂν ὅτι ἐν νῷ ἔχεις ποιήσειν.

36.

1. οὔ σοι πείσομαι οὐδ' ἐὰν ἀπαρνῇ.
2. εἰπέ μοι πότερον ταῦτα ἀληθῆ ἐστιν ἢ οὔ.
3. εἴτε οὖν ταῦτα ἀληθῆ ἐστιν εἴτε μή, οὐδὲν ἄλλο δράσω.
4. ἐς τοσοῦτο μωρίας ἀφίκετο ὥστε καὶ ἀπαρνεῖσθαι μὴ εἰδέναι ταῦτα γενόμενα.
5. δέδοικα μὴ οὐ συνίῃς ὅσα λέγω.
6. εἰ καίριόν τι ἔλεξας ἐλεύθερος ἂν ῇ.
7. πρὶν πορεύεσθαι τοῦτο πράξομαι.
8. ἐπειδὰν Ἀθήναζε ἀφίκησθε πάντα εἴσεσθε.
9. ὅπως { καίριος / ἐς καιρὸν } δεῦρο παρέσει.
10. ὁ Θεμιστοκλῆς ἐφοβεῖτο μὴ χαλεπαίνοιεν οἱ Λακεδαιμόνιοι τὴν ἀλήθειαν μαθόντες.
11. οὐκ εἴασεν αὐτοὺς μάχεσθαι πρὶν αὐτὸς ἐπανέλθοι.
12. οὐκ ἦν οἷος θάνατον φοβεῖσθαι.
13. ὅποτε ὁ βασιλεὺς ἐμὲ μεταπέμποιτο κατὰ τάχος ὡς αὐτὸν ἐφοίτων.
14. ἀπορῶ ὅπῃ λόγοις φανερὰν ποιῶμαι ὅσην οἶδα χάριν.
15. ἆρα ταῦτα ἀληθῆ ἂν εἴη; εἴθ' ὤφελε ταῦτα ἀληθῆ εἶναι.

37.

1. οὐ ταὐτὰ ἑαυτῷ λέγει οὗτος, ἀλλ' ἀπὸ γλώσσης ἅπαντα ὅτι ἂν τύχῃ.
2. κάκιστα δή φησι πεπονθέναι ὑπ' ἐμοῦ, καίπερ ὢν πατήρ.

3. εὖ ᾔδει εὐθὺς ἐλεγχθησόμενος, εἰ ψεύδοιτο.
4. εἰ ἐγώ τε καὶ σὺ ταὐτὸν ἡμάρτομεν, παντὸς ἂν μᾶλλον ᾐσχυνόμεθα.
5. εἰ τοῦτο ἐνομίζετο, οὐκ ἂν ἠδύνατο οὐδεὶς φεύγειν τὸ μὴ οὐ κολασθῆναι.
6. οὐκ ἂν ἔφασαν μεῖναι, εἰ μή τις δοίη αὐτοῖς τὰ καθ' ἡμέραν σιτία.
7. ἐπιμελήσομαι ἔγωγε ὅπως εὐτυχὴς ἔσομαι, ἐὰν σὺ ἐπιμελήσῃ ὅπως ἔσει χρηστός.
8. φέρ' ἄκουσον· εἰ γὰρ μὴ ἀναγνώσει ταύτην τὴν ἐπιστολήν, κλαύσει.
9. οὐ περιόψομαι διαφθειρομένην τὴν πόλιν τὸ κατ' ἐμέ.
10. λέξον δή, ὡς ὑφέξων λόγον· εὖ γὰρ ἴσθι τοῦτό γε.
11. ἀφήσω καθ' ἡμέραν τοὺς δεσμίους, ἐὰν δοκῇ μοι.
12. τά γε λοιπὰ ἄν τις εἰκάζοι πρὸς ταῦτα σταθμωσάμενος.
13. τοῦθ' ὃ λέγω ἥκει πρὸς πάντας, ὥστε μὴ φοβεῖσθε μὴ οὐ λέγω ταὐτὰ ἐμαυτῷ.
14. πρὸς θεῶν, μὴ ποιείτω μηδεὶς τοὐναντίον τούτοις.

38.

1. ἆρ' οὐ μέλει σοι τῆς σωτηρίας τῆς πατρίδος ;
2. τέλος ἔδοξεν αὐτῷ τὰ δέοντα ποιεῖν.
3. ἐάν σοι μένειν δοκῇ, ἔμοι γε ἀρκέσει.
4. φανερῶς ἡμῖν συμφέρει τοῦδε τοῦ πολέμου ἀπαλλάσσεσθαι.
5. ἔξεστί σοι ὅσα ἐνδέχεται πειρᾶσθαι.

6. ἄπιθι ἐάν σοι δοκῇ· ἐμοὶ γὰρ οὐ μέλει.
7. οὐκ ἄρα ὕοντος ἐνθένδε ἀφορμήσεσθε.
8. οὔπω ὑπάρχει ἡμῖν ὅσων δεῖ.
9. μετεμέλησέ μοι, καίπερ ἀπιέναι δεδογμένον.
10. ἔνιφεν ἡμῶν ἔτι ἐν ὁδῷ ὄντων.
11. οὔτε προσήκει οὔτε πρέπει ὧδε φλυαρεῖν.
12. ὅτι σεαυτῷ μάλιστα συμφέρει τοῦτο αἱρεῖσθαι δεῖ.
13. λέγει ὥσπερ παρὸν λέγοντος ἀκούειν.
14. καθ' ὅσον μὲν ἐξῆν χρόνον οὐκ ἤθελον· νῦν δε ἐθέλοντι οὐκέτι ἔξεστιν.
15. εἰ ἐβρόντησε, καὶ ἤστραψεν.
16. ἐάν πως παρῇ, χρὴ οἴκαδε πρῴ ἀφικέσθαι.

39.

1. ἅπαντα ἀκούσει, ἐάν τι μείνῃς.
2. ἐὰν τὸν πατέρα διώξῃ, μέγα τι ἁμαρτήσεται.
3. ἐὰν μὴ δυνώμεθα ὁρᾶν ὑμᾶς, βοησόμεθα μεγάλῃ τῇ φωνῇ.
4. ἀποιχήσεται ὡς ἵππον ὠνησόμενος.
5. μαθήσομαι, εἰ βούλει, τὰ ὄντα. ἐγὼ μὲν οὖν.
6. ἑψήσει οὖν σὺ τὸ τάριχος ἐάν τί σοι δώσω ;
7. πολλὰ ἔτη βιώσομαι, ἐὰν μὴ νοσήσας ἀποθάνω.
8. ἐὰν θίγῃς μου, κλαύσει.—ἀλλ' οὐ γὰρ θίξομαί σου.
9. οὐκ ἔστιν ὅπως οὐκ ἀποθανεῖται, ἐὰν φάγῃ μεγάλους λίθους.
10. πολλὰ ἔτη καμὼν τό γε λοιπὸν οὐκέτι καμοῦμαι.

11. ἐγὼ μὲν ἔλαχον τὴν ἀρχήν, σὺ δὲ λήξει τὴν τριηραρχίαν.
12. ἆρα καταλήψει αὐτόν ; φοβοῦμαι μὴ οὐ καταλάβω ἄνδρα οὕτω δεινὸν τρέχειν οὔποτε.
13. οὐ μαθήσει λέγειν Ἑλληνιστὶ οὐδέποτε, οὐδ' ἐὰν ἔτη ἑκατὸν βιώσῃς.
14. ἐάν μοι μίαν δραχμὴν δῷς, διανεύσομαι διὰ τοῦ ποταμοῦ.
15. ἆρ' ὀμεῖ ἦ μὴν μὴ λόγους ποιήσεσθαι μηκέτι πρὸς τὸν Δημοσθένη ;

40.

1. ἐὰν μετ' ἐμοῦ ἔλθῃς, ὄψει τε τὴν ναῦν καὶ θίξει αὐτός.
2. ἐπειδὰν ἥκω παρὰ σέ, παίσομαι μετὰ τῶν παιδίων.
3. πολλὰ καὶ κακὰ πείσει, ἐὰν διατελῇς μῶρος ὤν.
4. πῖθι σύ, καὶ ἐγὼ πίομαι, τῆς καλῆς κόρης.
5. ὁπόταν πειράσῃ πηδᾶν ὑψηλότερον τοῦ δέοντος, πεσεῖ.
6. πλεύσεται ἡ ναῦς τῆς ἑσπέρας· παρεγένετο δὲ πρὸ τριῶν ἡμερῶν.
7. ἀναπνεύσει ἐὰν παύσῃ τρέχων.
8. τέξεται ᾠὸν σήμερον ἡ ὄρνις ἥδε, εἰ μὴ πάνυ ἁμαρτάνω.
9. ταχέως δράμωμεν, καὶ αὐτίκα καταδραμούμεθα οἴκαδε.
10. ἐὰν σὺ μὴ τύχῃς τοῦ σκοποῦ ἐκείνου, ἐγώ σοι τεύξομαι αὐτοῦ.
11. διαθέωμεν δή· ἐγὼ γὰρ φθήσομαι ἀφικόμενος.

12. ἐπειδὰν ἀκούῃς αὐτοῦ λέγοντος, χανεῖ ἄρα τῷ κόπῳ.
13. ὁτιοῦν δὴ ὀμεῖται, ὥστε μὴ δίκην διδόναι.
14. ἆρ' ἀναβήσει ἐπὶ τὸν ἵππον τοῦτον· τὸν ἐμόν, ἐάν σοι ἐπιτρέπω.
15. μαθησόμεθα τἀληθὲς αὐτίκα δή, ἐάν γε σὺ σιγήσῃς.

41.

1. ἀδικήσομαι ἐὰν τῷ ἐναντίῳ ἐπιτρέπω ἃ ἂν δοκῇ ποιεῖν.
2. σαφῶς ἁπάσης τῆς οὐσίας ἀποστερήσει.
3. ὑφ' ἁπάντων ἐς ἀΐδιον μισήσονται.
4. οἰκίαν μεγάλην ᾠκοδόμηκα, ἀλλὰ ὕδατος ἐνόντος οὔποτε ἐνοικήσεται.
5. τιμήσεται ὡς τὴν μὲν ψυχὴν παραβαλόμενος τὴν δὲ πόλιν περιποιησάμενος.
6. ἄπαγε τοὺς ἄνδρας, ὦ φύλαξ, ἐς τὸ δεσμωτήριον· ἐκεῖ γὰρ ὡς ἄριστα ἐπιμελήσονται.
7. ζημιώσεται ὅστις ἂν παρανομῇ, ἐὰν ἐπ' αὐτοφώρῳ ἁλῷ.
8. μισήσει ἐὰν τὸν τυφλὸν φενακίσῃς.
9. ἐὰν ἐμοὶ παραστῇς, οὐκ ὀλίγον ἐν τῇ δυστυχίᾳ ἐπωφελήσομαι.
10. οἱ προδόται ἀτιμώσονται ἅπαντες ἢ καὶ ἀποθανοῦνται.
11. ἐὰν ἀργύριον πᾶσι τοῖς πτωχεύουσι δῷς, οὔποτε ἐάσει.
12. βλάψεται οὐχ ἧσσον τῇ αὐθαδίᾳ ἢ ὠφελήσεται.

42.

1. εἰ τῶν φίλων ἦσθα ὠφέλεις ἂν ἐμέ.
2. εἴθ' ὤφελον παραγενέσθαι ἐν ᾧ ταῦτα ἐγίγνετο.
3. μωρίαν ὀφλήσω ἐὰν τοιόνδε τι δρῶ.
4. ὤφελες ἐμὲ δεόμενόν σου ἐπωφελῆσαι.
5. τὸν πάτερα φενακίσας κακουργίαν ὦφλεν.
6. οὐ τῶν γε πολὺ ὀφειλόντων ἐστὶ τοὺς δυστυχοῦντας ὠφελεῖν.
7. τό γε λοιπὸν ἀποδώσω ὅσην ὀφείλω χάριν.
8. ἐγὼ μὲν ὠφέληκά σε, σὺ δὲ οὐδὲν ἄλλο ἢ ἐμὲ ἠδίκηκας.
9. ἐγὼ μὲν τὰ ὀφειλόμενα οὐδαμῶς δύναμαι ἀποτίνειν, σὺ δὲ ἐμὲ ὠφέλει.
10. ἐὰν τὰ ὀφειλόμενα μὴ ἀποδῷς καταφρόνησιν ὀφλήσεις.
11. εἴθ' ὤφελες τὸν πάτερα ἰδεῖν ἵνα πάντ' αὐτῷ ἔλεξας.
12. ὠφελήσει σε ἐὰν ἐν χρείᾳ ᾖς.
13. ἐγὼ δὲ τοὐναντίον τὴν σὴν καταφρόνησιν ὤφληκα.
14. εἴθ' ὠφέλομεν ἄνδρες εἶναι ἵνα δίκην ἐλαμβάνομεν.
15. δέκα τάλαντα ἤδη τοῖς ὠφελήσασιν ὀφείλω.

43.

1. πάντας ἔφθασεν ἐμοὶ βοηθῶν.
   or πρῶτος ἐμοὶ ἐπεβοήθει.
2. ἔτυχον τότε ἀποδημῶν.

3. ὅπως μὴ λαθὼν (or ἄκων) παρανομήσεις.
4. ἐτυγχάνομεν διὰ ὕλης πορευόμενοι.
5. φθάσας ἐμὲ τὰς πύλας συνέκλησεν.
6. οἱ φρουροὶ ἔλαθον εἰς τὴν πόλιν εἰσδεδυκότες.
7. οὐ τῷ τυχόντι χρήσει κινδύνῳ.
8. πολλὰ ἐμὲ λαθὼν ἠδίκηκας.
9. οὐκ ἂν φθάσειας οἴκαδε κομιζόμενος.
10. λανθάνεις μωρὸς ὤν.
or ἀγνοεῖς ὅποι μωρίας ἀφῖξαι.
11. οὐ τοῦ τυχόντος ἂν εἴη τούτοις ἀποκρίνεσθαι.
12. ἐν ᾧ ἀπεδήμει ἐπελάθετο ὅσων ἔμαθεν.
13. ὁ τύραννος ἔλαθε τὴν ἑαυτοῦ φθορὰν μηχανώμενος.
14. διαθεόντων ἐνίκησα ἐγώ.
or ἀγὼν μὲν ἦν, ἐνίκησα δ' ἐγὼ δραμών.
15. ἆρα ὁ πολέμιος φθάσας σε ἐξέφυγεν ;

44.

1. τοὺς πολεμίους, ἐὰν νικήσῃ, τιμωρήσεται.
2. ἐὰν δέησθε, ἀμυνοῦμεν ὑμῖν.
3. πρὶν ἀποθανεῖν τὸν τοῦ πατρὸς φόνον τιμωρήσω.
4. φίλοις μὲν ἀμύνειν χρή, πολεμίους δὲ ἀμύνεσθαι.
5. πῶς οὐ τῇ πατρίδι τούτους τοὺς κινδύνους ἀμυνεῖς ;
6. οὐχ ὁρῶ ὅπως ἐμαυτῷ κίνδυνον ἀμύνειν δύνωμαι, μή τί γε δὴ σοὶ βοηθεῖν.
7. ἅπαντα πράξω (or πάντα λίθον κινήσω) τοὺς ἀδικήσαντας τιμωρεῖσθαι ζητῶν.
8. οἱ ἐπιόντες τιμωρηθήσονται τῆς ὕβρεως.

9. ἐὰν καὶ τὴν ἐμὴν τιμωρίαν ἐκφύγῃς, τιμωρήσονταί σε οἱ θεοί.
10. οἱ φρουροὶ τοὺς πολεμίους εἰσορμωμένους ἀπήμυναν.
11. ὠφελοῦσιν οἱ θεοὶ τοὺς σφίσιν αὐτοῖς τιμωροῦντας.
12. ὅστις τὸν ἀδικοῦντα τιμωρεῖται κινδύνον τῇ πατρίδι ἐπαμύνει.
13. ἄμυνε τοῖς δικαίοις ἐὰν αὐτὸς σῴζεσθαι βούλῃ.
14. ἅμα τῇ ἕῳ οἱ ἐπίκουροι παρεγένοντο ἡμῖν τιμωροί.

45.

1. καταστήσουσι φρουρὰς ἐν ταῖς ἀφισταμέναις πόλεσιν.
2. συνέγνων τῷ ἀνδρὶ καίπερ πολεμίῳ ὄντι.
3. μεθίσταντο.
4. ὁ Κλέων ἄκων τὸν πλοῦν ὑφίστατο.
5. διὰ τὸν σκότον οὐκ ἠδύναντο ἀλλήλους διαγιγνώσκειν.
6. διέστησε τοὺς στρατιώτας οἷς ἐφειστήκει.
7. ἐνέστη πολὺς θόρυβος καὶ πᾶσα ἰδέα θανάτου.
8. δι' ὀλίγου μεταγνόντες τὴν δημοκρατίαν ἀντικατέστησαν.
9. οἱ στρατηγοὶ προεξαναστάντες τὴν ἐπιστολὴν ἀνέγνωσαν.
10. ὁ Δημοσθένης ἔπειθε τοὺς 'Αθηναίους τῷ Φιλίππῳ ἀνθίστασθαι.
11. τοὺς Αἰγινήτας ἀνέστησαν.

12. τῶν στρατηγῶν προδοσίαν κατέγνωσαν.
13. ἀναγνῶθι τὴν μαρτυρίαν ἵνα τὴν ἀλήθειαν γιγνώσκῃς.
14. τοῦ ἑαυτοῦ ἀδελφοῦ θάνατον κατέγνω.

46.

1. ταῦτα ἐγνωκότες κατέστησαν ἐς συνεχῆ πόλεμον.
2. ἐὰν καὶ τὸ πρῶτον τὸ ἔργον ὑφιστῆται οὐ διὰ πολλοῦ μεταγνώσεται.
3. ἀπογνοὺς ἀπέδρα, οἱ δὲ παρόντες ἐς φόβον κατέστησαν.
4. ὁ Ἑρμοκράτης συνίστη τὰς τῆς Σικελίας πόλεις.
5. αὔριον τῷ φίλῳ σε συστήσω.
6. λαβὼν ἀναγνῶθι τὸ βιβλίον.
7. ἐὰν ἀφιστῶνται οἱ σύμμαχοι τιμωρησόμεθα τοὺς ἐφεστῶτας στρατηγούς.
8. οὔποτε παρέστη αὐτῷ τὸ πολεμίῳ συγγιγνώσκειν.
9. συγκαταστήσομεν ὑμῖν τὴν ἐξουσίαν.
10. τοὺς ἡμετέρους διαγιγνώσκειν οὐ δυνάμενοι ἐς πᾶσαν ἀπορίαν κατέστημεν.
11. οἱ Λακεδαιμόνιοι ἁρμοστὰς καθίστασαν οἳ ταῖς πόλεσιν ἐπιστήσονται.
12. ταύτην τὴν ἐπιστολὴν ἀναγνοὺς οὐκέτι ἀντιστήσει.
13. θάνατον ὅμως κατέγνωσαν τοῦ ἐπισήμου τούτου.
14. ἕκτον ἤδη τοῦτο ἔτος τοῖς Σαμίοις ἀφεστηκόσιν.

47.

1. οὐκ ἐῶ σε τοῦδε λέγοντος ἀκροᾶσθαι· οὐ γὰρ ἀξιόπιστός ἐστιν.
2. ἦ ἐκεῖνος σὺ εἶ οὗ χρείαν ἔχω; οὔ φημ' ἔγωγε.
3. ἦ κέκρυφας τόν τε πέτασον καὶ τὸ ῥόπαλον; οὔ φημι· ὧδε γὰρ ἔχεις.
4. οὐ περιόψομαί σε ἀδικούμενον· μὴ τοιόνδε μηδὲν φοβοῦ.
5. οὐ περιεῖδον πελάζοντα, ὥστε παραυτίκα ἀπέδρα.
6. περιεῖδες ἄρα αὐτοὺς ἐγγὺς μένοντας.
7. οὐκ εἴα ἡμᾶς τάς τε γυναῖκας ἀδικουμένας καὶ τὰ τέκνα περιορᾶν.
8. οὔ φημι οὐδένα οὕτω μῶρον εἶναι ὥστε δρᾶν ἃ κελεύεις.
9. φύλακες, ἦ ἀποθνῄσκοντά με περιόψεσθε;
10. ἐμμένει ἄρα ὑμῖν ἡ πόλις τοῖς νόμοις, ἣ περιορᾷ τοὺς πολίτας ἐκδίκως ἀλλήλους τύπτοντας;
11. τολμῴης ἂν εἰπεῖν ὡς ἔστι τῶν θεῶν ὃς οὐκ εὐδαιμονεῖ;
12. οὐχ ἥκω ὡς τοιαῦτα περιοψόμενος.

48.

1. κακῶς ὑπὸ τῶν πολιτῶν παθὼν ἔφυγεν.
2. αἱ τοῦ Νικίου σπονδαὶ τοῦ πολέμου τῷ δεκάτῳ ἔτει ἐγένοντο.
3. ὁ κῆρυξ ἐπανελθὼν ἀπέθανεν καίπερ ἀναίτιος ὤν.

4. ἐς δίκην καταστὰς καίπερ αἴτιος ὢν ἀπέφυγεν.
5. οὗτοι οἱ νόμοι ὑπὸ τῶν τριάκοντα ἔκειντο τῆς ἰδίας ἕνεκα σωτηρίας.
6. ἐν οἷς ἐπολιτεύετο φιλόπολίς τε καὶ δημοτικὸς ὑφ' ἁπάντων ἤκουεν.
7. ἐὰν ἁλῷς οὐκ ἔστιν ὅπως οὐκ ἀποθανεῖ.
8. μετὰ τὸν πόλεμον ὀλιγαρχίαι ἁπανταχοῦ κατέστησαν.
9. κακῶς ὑπὸ τοῦ πλήθους παθὼν (or τραχέως περιεφθείς) ἀπέθανεν.
10. δέδοικα μὴ οἱ νόμοι πρὸς τῶν ἐχόντων κέωνται.
11. φίλος γένοιτ' ἂν εὖ παθὼν ὁ πολέμιος.
12. ἐὰν τοὺς νόμους παραβαίνῃς δίκην ὑφέξεις.
13. τῶν οἰκιῶν αἱ μὲν πολλαὶ διὰ τὴν νόσον ἐπεπτώκεσαν.
14. ἐς δίκην καταστὰς μαρτύρων οὐ παρόντων ἀπέφυγεν.
15. ὁ Σόλων ἦν τῶν ἕπτα σοφῶν.
16. οἱ σύμμαχοι, ἐὰν εὖ πάσχωσι, προσχωρήσουσιν.

49.

1. τίς τὸν Φίλιππον κωλύσει δεῦρο βαδίζειν;
2. τοῖς Αἰγινήταις Θυρέαν ἔδοσαν ἐνοικεῖν.
3. πάντες τοὺς θεοὺς ἀγαθὰ διδόναι αἰτοῦσιν.
4. θαυμαστόν τι ἐγένετο καὶ ἄξιον λέγειν.
5. δεινότερα εἶπεν ἢ ὥστε διηγεῖσθαι.
6. τό γε ἐμὲ εἰδέναι, ἐν ἀσφαλεῖ ἐσμεν.
7. καθ' ἡσυχίαν ἄπιτε, ἐμοῦ γ' ἕνεκα.

8. ἡ πόλις χαλεπὴ ἔσται χειμῶνος λαβεῖν.
9. ἐδεησάμην αὐτοῦ κατὰ πάντα ἀληθεύειν.
10. τοῦτο ῥᾴδιον μέν ἐστιν ἐξηγεῖσθαι, χαλεπὸν δὲ ποιεῖν.
11. τοσούτου δεῖ ἀληθὲς εἶναι ὥστε μηδὲ εἰκὸς εἶναι.
12. τί ἐκώλυσεν ὑμᾶς δεῦρο ἐς καιρὸν παρεῖναι;
13. πεφύκασιν ἄνθρωποι τοὺς πολεμίους μισεῖν.
14. πολλὰ ἔτι λέγειν ἔχω.
15. ὡς ἀπεδήμουν οὐδὲ κλίνην εἶχον ἐγκαθεύδειν.

50.

1. οὐ ῥᾴδιον ἐξετάζειν τὰ πάλαι.
2. οἱ πάλαι τοῖς νῦν οἱ αὐτοὶ τὸ πολύ.
3. οἱ ἐν τῇ πόλει ἐξηγέρθησαν κνεφαῖοι.
4. ἐτιμῶντο ὑπὸ πάντων οἱ ἐν τέλει ἐπ' ἐμοῦ.
5. ἀπόλωλεν ἡ πόλις διὰ τὸ νενικῆσθαι ἡμᾶς.
6. ἀντὶ τοῦ ἡσυχάζειν ψόφον ἀεὶ ποιοῦνται οἱ παῖδες.
7. μὴ πίστευε τῷ γε μὴ πολίτης εἶναι.
8. οὐκ ἂν εἴποιμι ἀπὸ στόματος διὰ τὸ λελῆσθαι.
9. μετὰ τῶν ἐκ τῆς πόλεως ἦλθον οἱ ἐκ τῶν νεῶν.
10. διὰ τὸ ἡμαρτηκέναι ἐμέ, ἀπώλοντο πολλοὶ δή.
11. τιμὴ ἡμῖν τὸ νενικηκέναι τοὺς βαρβάρους.
12. λυποῦνται οἱ βάρβαροι διὰ τὸ νενικῆσθαι.
13. αἱ ἐν τῷ ποταμῷ νῆες ἰσχυρόταταί τε καὶ πλήρεις ἀνδρῶν.
14. οἱ ἐκ τῆς ἀγορᾶς ἀπέδραμον ὡς εἶχον ποδῶν.
15. τοὺς ἐν τῷ δεσμωτηρίῳ φοβούμεθα, διὰ τὸ λελωποδυτηκέναι.

51.

1. παρά μοι κάθηται λίθῳ ὅμοιος οὔτ' ἔχοντι ὦτα οὔτ' ἐγκέφαλον.
2. ἀπέδρα ὁ δοῦλος τὸν ἐμὸν κύνα ἄγων, μὴ δέροιμι αὐτόν.
3. ἐσῆλθεν ἐς τὴν οἰκίαν κλέπτης τις, καὶ ἀπέφυγε λαβὼν τόν τε πέτασον τοῦ δεσπότου καὶ θοἰμάτιον.
4. ἐκάλει ὁ μάγειρος τοὺς φίλους πρὸς δεῖπνον οὐκ ἔνδον οὔσης τῆς δεσποίνης.
5. ἐς μάνδραν κατέφυγον φεύγων τὴν χάλαζαν.
6. πάρεστιν, ὦ τᾶν, ἔμπορος, πέντε ἔχων ἵππους καλλίστους.
7. ἰδοὺ ὁ φύλαξ ἔχων τὸ κώνειον τοῖς δεσμώταις.
8. πρῴ πάρειμι φέρων ἀγγελίαν ἀηδῆ.
9. διὰ τί ἦλθες τὸν Σωκράτην οὐκ ἄγων;
10. ἦλθεν οὐ πολὺ διαλιπὼν ἵνα ἴδοι τί γίγνεται.
11. μεσοῦμεν ἤδη δειπνοῦντες, ὥστε καθίζου.
12. φαίνεται δή, ἦ δ' ὃς γελάσας.
13. πέτασον ἔχων ἐπὶ τῆς κεφαλῆς ἦλθον, ὥστε ἀμύνειν τὸν ἥλιον.
14. ἐπειδὴ δεινός τις εἴη παγετός, ἐξέβαινεν χλαῖναν οἵαν πρότερον φορῶν.
15. πρῶτον μὲν οἱ γέροντες ἦλθον, ἐχόμενοι δὲ τούτων οἱ νεανίαι.

52.

1. λαθόντες ἐπέθεντο ἵνα τὴν πόλιν ἀπροσδόκητον καταλάβοιεν.
2. ᾔσθετο ἀνωφελὲς ὂν πλείω ἐρωτᾶν.
3. ἐπὶ ἐσχάτῃ τῇ νήσῳ ἐστρατοπεδεύσαντο.
4. ἀπὸ τοῦ δένδρου ἀκροτάτου τὰς ναῦς ἰδεῖν παρῆν.
5. ὧν ὁρᾷς νήσων ἡ μέση μεγίστη ἐστίν.
6. ἡ νῆσος μέση οὐδὲν ἄλλο ἢ ἕλος ἐστίν.
7. ἦλθε πάντας τοὺς φίλους καὶ τοὺς πλησίον φέρων.
8. διετέλουν τὰ ἄριστα ὑμῖν παραινῶν.
9. ᾔσθετο ἀδύνατος ἐσόμενος πορρωτέρω ἰέναι.
10. φανερός ἐστι δεδιὼς μὴ ἁλίσκηται.
11. παῦε πρὸς θεῶν φλυαρῶν.
12. τύπτει μὲ τὸ πρόσωπον ἔχων· τί δράσω;
13. παρανόμημα καταγνωσθεὶς δίκην ἔδωκεν.
14. φανερὸς εἶ ταῦτα λέγων ὡς ἐμὲ παρηγορήσων.
15. ᾄδειν μὲν ἐπίσταμαι, οἶδα δὲ κακῶς ᾄδων.
16. μέγα χρῆμα (or πλῆθός τι) στρατιωτῶν συνῆλθεν.

53.

1. ἄξιός ἐστιν ἀποθανεῖν.
2. οὐ χαίρων ἐμὲ οὕτω λοιδορήσεις.
3. ἀνάξιός ἐστι τὴν στρατηγίαν ἐντρέπεσθαι.
4. ὀχεῖσθαι ἐξὸν, βούλοιο ἂν μᾶλλον τρέχειν;
5. μεταξὺ δειπνῶν ἀνέστη.
6. ὁ λοχαγὸς τριακοσίους ἔχων τοξότας ἐδίωκεν.
7. ὁ Θεμιστοκλῆς νοσήσας ἐτελεύτησεν.

8. φανερός ἐστι πλείω εἰδὼς ἢ ὅσα λέγειν βούλεται.
9. οἱ ἐγχώριοι φαίνονται εὐνοεῖν ἡμῖν.
10. πᾶσαν τὴν ἡμέραν ἐμάχοντο, τελευτῶντες δὲ ἀπεῖπον.
11. ἆρα ἄξιοί ἐσμεν ὧδε κολάζεσθαι;
12. τὰς πύλας ξυνέκλῃσαν αἳ ἔτυχον ἀνεῳγμέναι.
13. ὅπως περὶ τούτων γιγνώσκει οὐ φανερὸς ἦν.
14. ἐν ᾧ διελεγόμεθα ἐμὲ μέσον ἔλαβεν ὡς ὑποσκελιῶν.

54.

1. ἦλθε τετρακοσίους ὁπλίτας ἄγων.
2. ὁ πόλεμος ὅσων πεπόνθαμεν κακῶν αἴτιος.
3. ἠχθόμην ἀποδημεῖν σε μαθών.
4. ταὐτὰ ἐρωτᾷ ἔχων.
5. τί ἄρα πτωχεύεις πλουτεῖν ἐξόν;
6. ἐξεληλεγμένοι ἤχθοντο.
7. ἀφ' ὅτου ἐκ παίδων ἐξῆλθον οὐ παύομαι τῇ πατρίδι ὑπηρετῶν.
8. ὡς τελευτῶντες οὐκέτι ἀνέχειν ἠδυνάμεθα, ἐς φυγὴν κατέστημεν.
9. ἐλπίδος οὖν ἐσφάλημεν ἣ μόνη ἡμῖν περιῆν.
10. πέμψομεν ναῦν ἣν ἔχομεν ταχίστην.
11. ἡσυχάζειν ἐξὸν πόλεμον εἵλοντο.
12. τοιαῦτα διηγήσομαι ἃ εἰδότες ὠφέλιμοι ἔσεσθε πολῖται.
13. μετεμέλησεν ἡμῖν τοὺς λόγους μὴ δεξαμένοις.
14. ὡς ἐκ τῶν παρόντων δηλώσομεν οὐκ ἄξιοι κολάζεσθαι ὄντες.

55.

1. οὐκ ἂν ἐποίησα αὐτὸ ἑκών.
2. οὐδέν ἐστιν αἴσχιον προδότου, ἔμοιγε δοκεῖν.
3. οὐκ ἄν τοι ἐπιθόμην τοῦτο, ὡς εἰπεῖν, εἰ μὴ διὰ σέ.
4. οὕτως ἔχει τὰ πράγματα, ὅσον ἐμέ γ' εἰδέναι.
5. οὐδεὶς, ὡς ἔπος εἰπεῖν, ἤκουσε τὰ γενόμενα.
6. οὐ γὰρ ἀνεχοίμην ἄν, ὡς συντόμως εἰπεῖν, ὑβριζόμενος (or ἀνειχόμην if *could* is simple past).
7. τίς δ' ἄν ποτε ποιήσειε τὸ τοιοῦτον ἑκὼν εἶναι ;
8. πεντακισχίλιοι, ὡς εἰκάσαι, παρῆσαν ναῦται.
9. ποιήσειν ἔφασαν τὸ κατὰ σφᾶς εἶναι.
10. οὐδείς σ' εἶδεν, ὅσον ἐμέ γ' εἰδέναι.
11. κἂν εἴη πανοῦργος ὡς ἀληθῶς, ὅσον γ' ἐμ' εἰδέναι.
12. ἅπασα ἡ πόλις, ὡς εἰπεῖν, ἡμᾶς ὑμνεῖ.
13. ἀπώλοντο ὀλίγου δεῖν ἅπαντες οἱ ἑταῖροι αὐτοῦ.

56.

1. ἐκρεμάννυντο βοτρυδὸν αἱ μέλισσαι ἀπὸ τῶν δένδρων.
2. ἅπασα ἡ πόλις ἐξεχώρει μετέωρος ὡς ἀσπασομένη τὸν νικήσαντα.
3. ἐκάλει με πατρόθεν, καὶ ἱκέτευεν ἐμὲ ὠφελεῖν αὑτόν.
4. παρήλαυνεν ἵππον ἔχων ἱδροῦντα.
5. ταυρηδόν μ' ἔβλεπεν, ὥστε ἐφοβούμην μή με βλάψῃ.

6. μὴ λοιδόρει μηδένα ἰάμβοις ὀνομαστί, μή τι καὶ κακὸν πάθῃς.
7. λῆρός ἐστιν ἄλλως οὗτος, οὐδέ σου ἀκούσομαι ἑκὼν εἶναι.
8. ἑάλω ἡ πόλις αὐτοβοεί, ἔρημος οὖσα.
9. τοῦτόν σοι δίδωμι τὸν ἵππον προῖκα, ἐφ' ᾧ τε πρίασθαι τὸν ἕτερον.
10. μή με βλέψῃς ταυρηδὸν οὕτως, οὐ γὰρ περιόψομαι.
11. οὐκ ἦλθεν ἀρχήν, μὴ συλληφθεὶς ἐς τὴν φυλακὴν ἀπαχθείη.
12. ἐὰν πίῃς ἀπνευστὶ ὅλον τοῦτο τὸ ποτήριον νοσήσεις (or ἐμεῖ).
13. ἄπαγε ἐκποδών, ἐπεὶ (or εἰ δὲ μή) κλαύσει δή.
14. ἔπαισεν αὐτὸν πὺξ ὥστε κατέπεσεν χαμαί.
15. ἀπεκρίνατο ἃ ἠρώτων νουνεχόντως.

57.

1. ἀκονιτὶ ἄρα ἐνίκησεν ὅσον ἐμέ γ' εἰδέναι.
2. ἐξῆλθον ἁθρόοι οἱ στρατιῶται ὥστε ἰδεῖν τὸν στρατηγόν.
3. γνὺξ καταπεσὼν σχεδόν τι ἀπεῖπεν.
4. οὐκ ἀπέδωκα οὐδέποτε οὐδὲν προῖκα.
5. οὗτος ὁ δεσμός μοι ἐμποδών· ἀπολύοις ἂν δή.
6. εἰ πατρόθεν ὀνομάζοις, ἴσως ἂν παύσαιτο.
7. χαμαὶ ἐκεῖτο ταυρηδὸν βλέπουσα.
8. ξίφος μὲν εἶχεν ὀδάξ, χειρὶ δ' ἑκατέρᾳ ἀκόντιον.
9. τεῖχος ᾠκοδόμουν λογάδην φέροντες τοὺς λίθους.

10. λὰξ ἐπιβὰς τῷ νεκρῷ ἀπέσπασε τὴν λογχήν.
11. εἰ τὸν οἶνον ἐκεῖνον ἀπνευστὶ ἔπιον, ἐνόσησα ἄν (or ᾔμεσα ἄν).
12 ἐκρεμάννυντο ἀπὸ τῶν ἀμπέλων αἱ σταφυλαί, ὥστε ἅλις εἴχομεν φαγεῖν.
13. οὐκ ἂν ἐμαχέσαντο πύξ, εἰ ξίφη εἶχον.
14. φέναξ ἔστιν οὑτοσί, ἐπεὶ ὡμολόγησεν ἂν αἴτιος εἶναι.
15. ἐὰν τὴν πόλιν ἕλωμεν αὐτοβοεί, εὐτυχήσομεν ἄρα.

58.

1. νομίζεις μὲν ὡς ἔβλαψά σε, τὸ δὲ ἐβοήθησα.
2. πολλάκις μὲν ἐρωτῶ, σπάνιοι δὲ ἀποκρίνονται.
3. καθίζειν πάρεστιν;—πῶς γὰρ οὔ; φίλος μοι εἶ δήπου.
4. οἷόν τε ποιεῖν τοῦτό γ' εἰ πειρῴμεθα.
5. ἀλλὰ νὴ Δία οὐ παρέσχεν μάρτυρας ὁ ἄνθρωπος.
6. φέρε δός μοι τὸν δίφρον ἐκεῖνον. μάλιστά γε, ἐὰν ἐθέλῃς καθῆσθαι.
7. καθῆσο.—καὶ δὴ κάθημαι· τί μοι ἐθέλεις ἄρα;
8. οὐκ εἶδον μὰ τὸν Δία οὐδένα οὕτως ἀνδρεῖον οὐδεπώποτε.
9. οὐ μὰ τὸν Ἀπόλλω κίνδυνος ὁ τυχὼν ἐμποδών σοι.
10. καὶ δὴ τεθνᾶσι· εἶτα τί ποιῶ;
11. τιμωρήσει αὐτοὺς δήπου, ἐὰν νικήσῃς;
12. φασὶ μὲν τοὺς θεοὺς βοηθεῖν ἀνθρώποις, τὸ δὲ βοηθοῦσιν ἑαυτοῖς οἱ ἄνθρωποι.

13. αὔριον γενήσεται ὁ γάμος.—ἐχθὲς μὲν οὖν.
14. αὔριον δ' οὖν ἄπειμι.
15. πάταξον πὺξ ἐμέ.—ἐμὲ μὲν οὖν, καὶ γὰρ ἐγὼ ἰσχυρότερος.

59.

1. ἆρ' οὐχ ἥκεις ὡς καταστήσων φρουρὰς ἐν ταῖς πόλεσιν ταῖς ἀφεστηκυίαις ;
2. συγγνῶθί μοι γοῦν, ἐὰν μὴ δύνῃ ἀμνημονεῖν.
3. οὐ διακρῖναι ἀλλήλους ἠδυνάμεθα, ὅμως δ' οὔπω νὺξ ἦν.
4. φήσει δὴ ἡμᾶς σεσυκοφαντηκέναι οὗτος.
5. ἀντὶ τῆς εὐνοίας δῆλός ἐστιν ἡμᾶς ἀπατήσας που πάντας.
6. εἴθε πλούσιος ἦν.—τίθει οὖν σε πλούσιον· τί μήν ;
7. οἱ κρίται λόγῳ μὲν ἀπέλυσαν αὐτόν, ἔργῳ δὲ κατέγνωσαν.
8. σὺ ἄρα ὁ κρίτης δήπου ὁ ἐλθὼν ὥστε μοῦ καταγνῶναι.—πῶς γὰρ οὔ ;
9. δός μοι πίστιν ἦ μὴν εὖ με ποιήσειν.
10. κατέλαβον ὑγιαίνουσαν τὴν γυναῖκα, ὡς καὶ κατέλιπον αὐτὴν τῷ ὄντι.
11. τέθνηκας ἄρ', ὦ φίλτατε ; τί ποτε ποιῶ ;
12. τί ἄλλο ἢ ἐκβάλλεις τοὺς ἀποθανόντας ἐκ τῶν τάφων ;
13. ἆρα μετέγνωκας ;—οὐ γὰρ οὖν, ἀλλὰ τὸ αὐτὸ καὶ νῦν ἐννοῶ.

14. κἂν ἐξεπλάγησαν φόβῳ εἴ γ' εἶδον ἐμέ.

15. φέρ' ἀναγνῶθι τὴν ἐπιστολὴν ταύτην.—καὶ δὴ ἀναγιγνώσκω.

60.

1. οὐκ ἔστιν ὅπως οὐκ ἐξελεγχθήσονται οἱ μὴ ἀληθεύοντες.
2. οὔποτε λόγῳ μὲν ὑπεσχόμην ἔργῳ δὲ οὐκ ἐποίησα.
3. ἀπεύχου, ἐὰν σοφὸς ᾖς, μήποτε δεσπότῃ τοιῷδε ὑπηρετεῖν.
4. οὐκ ἔστιν ὅπως οὐκ ἤδη ὧν ἠλπίσαμεν τευξόμεθα.
5. ἐν ὁδῷ οὐ τῷ μὲν τῷ δὲ οὒ περιεπίπτομεν κινδύνῳ.
6. οὔτινα ὅντινα οὐ λέγων κατέκλασεν.
7. οὐκ εἰς ὄλεθρον; ἄπιθι. οὐ γὰρ φιλῶ τοὺς μὴ καλοὺς κἀγαθούς.
8. οὐ φθάσας δεῦρο ἵππους ἄξεις;
9. ἆρα οὕτως ἀναιδὴς εἶ ὥστε ἀπαρνεῖσθαι μὴ ταῦτα εἰδέναι;
10. αὗται αἱ πόλεις χαλεπαὶ λαβεῖν ἔσονται μὴ οὐ χρόνῳ.
11. μὴ οὐ τοῦτο τῷ ὄντι φοβερόν ἐστιν (or ᾖ).
12. οὐχ ὅπως τοὺς δούλους ἀλλὰ καὶ τὴν γυναῖκα καὶ τὰ τέκνα πολλὰ ἠδίκησεν.
13. οὐ συνεγενόμην ἀνδρὶ οὕτω δεινῷ οὔποτε οὐδαμοῦ.

61.

1. τὰ ἔσχατα κινδυνεύσας οὐδὲ ἐλάχιστον ὠφελήθη.
2. ὧδε ἐμοὶ ἀπειλήσας οὐ μέντοι ἀπέτρεψε μὴ οὐκ ἀληθεύειν.
3. μαθήσει ποτὲ ὅποσα καὶ ὁποῖα εὐεργέτηκά σε.
4. ἆρα ἄξιός ἐστιν ἀποθανεῖν περὶ τοσούτου ἡμαρτηκώς;
5. πολλὰ ἐμοῦ κατηγόρουν ἤ τι ἢ οὐδὲν ἀληθεύοντες.
6. καὶ ὁ μὲν ἀναστὰς ἐξῄει· οἱ δὲ παρόντες ᾔσθησαν τῷ γενομένῳ.
7. οὐπώποτε ὑπωπτεύσαμεν ὅποσα ἠμέλλομεν κινδυνεύσειν.
8. ὧν ἠδίκηκας οὐδὲν ὀνήσει.
9. σκέψαι ὁποῖος ὑπὸ τῶν πολεμίων ἀκούεις.
10. ὅποτε ἐμὲ αἰτιῷντο ταῦτα καὶ τὰ τοιαῦτα ἀπελογούμην.
11. ἆρα ἐχαρίσω ἂν ἃ ἀπῄτουν εἰ ἐξετέλεσα ὅσα ὑπεσχόμην; (or ἐνέμεινα τοῖς ἀναδεδεγμένοις;)
12. οἷς ἐπεχείρησε ταῦτα καὶ κατώρθωσεν.
13. τοιοῦτος ἦν ὁ σεισμὸς οἷον οὔτις μέμνηται γεγονότα.
14. ἐὰν πόλεμος γένηται τιμιώτερος ἔσται ὁ σῖτος.

62.

1. ποιηταῖς ὅτι μάλιστα ἥδομαι ὁμιλῶν.
2. ὀλίγον παρεσκευάζετο οὐδὲν ὡς ἀποδημήσων.
3. τὸ πρῶτον ἀφικόμενος ἔφην θαυμάζειν εἰ πάρεστιν.

4. φανερὸς ἦν ὅτι μάλιστα ἀγανακτῶν τῷ γενομένῳ.
5. ἀκράτου ἡδέως πίνω.
6. ἔπρασσε τοῖς πολεμίοις ἐπωφελήσειν ὑπισχνούμενος.
7. γνοὺς ὅτι οὐ δύναμαι βεβαιοῦν τοῦτο, οὐδὲ πειράσομαι.
8. ὀργισθεὶς ἀπηλλάχθη ἄφωνος.
9. μαθών σε περὶ δικαίων ἰσχυρίζεσθαι ἐνδίδωμι.
10. ὡς ἀθλιώτατα ἤδη διακείμενος ἀπορεῖ ὅτι ποιῇ.
11. οὐ τούτοις πέποιθα ὑφ' ὧν ἠδίκημαι.
12. οὐκέτι ἀνέχειν δυνάμενος ἐδάκρυσεν.
13. ἄλλοι ἄλλα ἐδεδοίκεσαν.
14. δεῖ με πρῶτον μὲν μαθεῖν πῶς ἔχω χρημάτων, ἔπειτα ὑποσχέσθαι ὠφελήσειν.

63.

1. ἀστάθμητος ὢν τὴν διάνοιαν οὐ κατορθοῦται.
2. θαυμασίως ὡς σπουδαῖος ἦν, ὥστε ἐκπλαγῆναι ἅπαντας.
3. ἐν ἀδήλῳ ὄντος τοῦ μέλλοντος ἐν φροντίδι εἰσὶν οἱ ἄνθρωποι.
4. τό τε δίκαιον καὶ τὸ ἀληθὲς ἰσχυρότερα τοῦ συμφέροντος.
5. τοιοῦτον σεαυτὸν παρέχων φανερὸς γέγονας καλὸς ὢν ὡς μάλιστα.
6. μακάρτατοι αὐτοὶ ἑαυτῶν ἦσαν ὡς πένητες ὄντες.
7. ἐταπεινώθη τὴν γνώμην τοιούτους τε καὶ τοσούτους πυθόμενος τεθνηκότας.

8. ταῦθ' ἃ λέγεις οὔ φημι ἀληθῆ εἶναι, εὖ ἴσθι.
9. οἱ σκληρὰ ποιήσαντες καὶ πείσονται χαλεπά.
10. τοσαῦτα δὴ ἔψευσμαι, ὥστε οὐ γιγνώσκω τί ἀληθές ἐστιν, οὐδ' ἰδών.·
11. σύνοιδα μέν σοι δίκαια ἐγνωκότι, λυποῦμαι δέ.
12. ἀμφισβητῶ μὴ δίκαιόν σε εἶναι ἔχειν τοῦτο τἀργύριον, ὡς ἄνηβον ὄντα.
13. οὐκ ἀπαρνούμεθα μὴ εὖ σε βουλόμενον ταῦτα ποιεῖν.

64.

1. ἅπαντες δὴ οἱ πολῖται ἴσασί σε ὡς φέναξ εἶ.
2. εὖ οἶδε πείθειν τοὺς ἐν τέλει, ὥστε οὐδεὶς φόβος μὴ σφαλῇ.
3. ἀεί προσίενταί με οἱ φύσιν γενναῖοι (or οἱ φιλάνθρωποι).
4. οἱ μὲν μῶροι ἐπαινέσουσί σε, οἱ δὲ σοφοὶ οὐκ ἔστιν ὅπως οὐ μέμψονται.
5. μώρῳ μοι ὄντι οὐ παρέχουσιν ἑαυτοὺς οἱ νοῦν ἔχοντες.
6. οὐδὲν πρὸς ἐμὲ οἱ κομψοί.
7. ἀκούω ἀνδρῶν ἀξιοπίστων πόλεμον ἔσεσθαι φασκόντων.
8. ἐκελεύσθη ἡμῖν ἐπιμελεῖσθαι ὡς μάλιστα.
9. ἐξῆν αὐτῷ ἄνθος τι δρέπειν.
10. οὐ χαλεπὸν τοῦτο τῷ γε σοφῷ καὶ εὐτραπέλῳ.
11. δίκαιοί τε καὶ σώφρονες πεφύκασιν οἱ ἀληθῶς σοφοί.
12. μισοῦσι πάντες τοὺς ἀχαρίστους.

65.

1. οὐκ οἶδα οὔθ' ὁπόσοι εἰσὶν οὔθ' ὅπου.
2. χρή σε μοι λέγειν ἅπαντα καθ' ἕκαστον, εἰ δὲ μὴ οὐχ οἷός τ' εἰμί σ' ἐπωφελεῖν.
3. ᾔδη αὐτὴν εὖ ὁποία τις εἴη, οὐδ' ἐφοβούμην μὴ σφαλείη.
4. εἰ ᾔδησθα ἐμέ, ὡς σε φιλῶ, οὐκ ἂν ἐποίεις οὕτως οὐδέποτε.
5. ὅπως διδάξεις τὸν πατέρα ποῖός τίς ἐστιν οὗτος.
6. ἐρωτᾷς πηλίκος εἰμί, ἀγροικότερόν τι ἐρωτῶν, ὡς δοκεῖ ἔμοιγε.
7. οὐκ ᾔδεσαν οἱ στρατιῶται ὅποι πορεύοιντο.
8. πειράσομαι ἐξηγεῖσθαί σοι πόθεν ἤρξατο ὅλον τὸ πρᾶγμα.
9. ὁ βασιλεὺς φανερώτατος ἐγένετο φύσει αἰσχρός τις ὤν.
10. ἐπιμελοῦ ὅπως ἐξαπατήσεις τὸν κυμινοπριστὴν τοῦτον.
11. ἤκουσας δὴ ἃ λέγω· ἆρα φοβεῖ μὴ φονεύσω σε;
12. δεῖ ὡς τάχιστα δηλοῦν ὡς οὐκ ἐπαινοῦμεν ταῦτα.
13. διαβάλλων δῆλος γίγνει ποῖός τις εἶ φύσιν.
14. οὐκ ἀπαρνοῦμαι εὐνοεῖν τὸν ἄνδρα ταῦτα ποιοῦντα.
15. μαθόντες πῶς διακεῖνται ἐξεπλάγησαν.

66.

1. τοὺς φονέας εἰκὸς φανεροὺς γενέσθαι τελευτῶντας (or ἤμελλον οἱ φονῆς φανεροὶ γενέσθαι τελευτῶντες).

2. μὴ ζήτει τί συμφέρει, μηδὲ ἀεὶ πρᾶττε πρὸς τὰ παρόντα.
3. οἱ μὴ δυνάμενοι νεῖν πολλάκις ἀποπνίγονται.
4. τοὺς μαθητὰς διατελῶ διδάσκων ἄριστα πράττειν τὸν δίκαιον ἄνδρα.
5. τίνι πεστεύων λέγεις ταῦτα;
6. ἐπεὶ δὲ ἔμαθον ὡς πάντων ἐνδεεῖς εἶεν, ἐδίδουν αὐτὰ τὰ ἀναγκαιότατα.
7. ἀλλὰ οὐκ ἐθέλω διαιτητὴς γενέσθαι ὡς ἀγνοῶν ἅπαντα.
8. συγγνῶθί μοι πειρωμένῳ δεῖξαι ὡς πολλήν οἶδά σοι χάριν ἀνθ' ὧν ἐχαρίζου τὸ πρίν.
9. διὰ τοῦτο δοκῶ μοι ἄπειρος εἶναι νόσων, ὅτι οὐδὲ τοῖς ἰατροῖς χρῶμαι ἀρχήν.
10. φρουδὰς οἴχεσθαι αἰσθόμενος ἁπάσας τὰς ἐλπίδας ἐς τὸν ἔσχατον φόβον κατέστη.
11. τὸν μὲν δόντα ἐπαινῶ ὡς εὔφρονα ὄντα, τῷ δὲ λαβόντι μέμφομαι ὅτι χάριν οὐκ οἶδεν.
12. εἴ τι ἐνδεές ἐστιν, ὑμεῖς μὲν ἀναπληροῖτ' ἂν τῇ γνώμῃ τοῦτο.
13. μείζω ἐπισκήπτουσί μοι ἢ ὥστε φέρειν.

67.

1. λόγῳ μὲν πρέσβυς ἥκει, ἔργῳ δὲ ἐμὲ ὀψόμενος.
2. ὀλίγοι μὲν δεινοὶ λέγειν, δοκοῦσι δὲ ἑαυτοῖς πολλοί.
3. αὐτίκα μὲν οὐκ αἰσθήσεται, ὕστερον δέ.
4. εἶπέ μοι τὸ πρᾶγμα καθ' ἕκαστα, μὴ τὰ μὲν τὰ δ' οὔ.

5. λέγεται μὲν πολλὰ ἐν τῇ ἐκκλησίᾳ, κυροῦται δὲ βραχέα.
6. ἐγὼ μὲν στρατιώτης δεξιός, σὺ δὲ ζῳγράφος.
7. νὺξ ἐν μέσῳ, καὶ ἅπαντες ἐς τὴν ἀγορὰν αὖθις παρεγένοντο.
8. πρόφασιν μὲν ἐπεσιτίζοντο, ἔργῳ δὲ ἦσαν κατάσκοποι.
9. οἱ μὲν ἄλλοι λόγῳ καλοὶ κἀγαθοὶ, οὗτος δὲ μόνος ἔργῳ.
10. οἱ μὲν ἐλπίζοντες πολλοί, οἱ δὲ εὐτυχοῦντες ὀλίγοι.
11. ὠργίζετο μὲν πολύ, φανερὸς δ' οὐκ ἐγένετο.
12. ὀργιζόμενος μὲν κακῶς ποιεῖ τοὺς δούλους, ἄλλοτε δ' οὔ.
13. πολλὰ μὲν ἂν ἐγένετο κακά, ἐσώθησαν δ' ἀπὸ πάντων.
14. οὐ πᾶσαν τὴν εὐτυχίαν αὐτοῦ τοῦτο λέγεις, μέρος δέ τι μικρόν.
15. λοιδορεῖ μὲν ἐμὲ, αὐτὸς δὲ φανερὸς γίγνεται αἰσχρὸς ὤν.

68.

1. ἔγνωκεν ἤ τις ἢ οὐδεὶς τὸν ἄνδρα ὁποῖός ἐστιν.
2. ὅπῃ περὶ τούτων γιγνώσκει συνίημι ἐγὼ εἴ τις καὶ ἄλλος.
3. νοσήσας τελευτήσει ἄλλως τε καὶ κρέως οὔποτε γενόμενος.
4. ἤ τις ἢ οὐδεὶς μεταξὺ δειπνῶν καταδαρθάνει.
5. ἄξιος εἶ κολάζεσθαι ἄλλως τε καὶ ἑτέρων αἴτιος ὢν ἐγκλημάτων.

6. ἄλλοι τε ὑστέρουν καὶ οἱ ἀμφὶ τὸν Διογενῆ.
7. ποιοίην ἂν εἰ ἐν ἐμοὶ εἴη ἄλλως τε καὶ φίλος ὢν σοι.
8. ὅποι τελευτήσει ὁ πόλεμος οὐδεὶς ὡς εἰπεῖν οἶδεν.
9. κατάδηλος σὺ εἶ, εἴ τις καὶ ἄλλος, τοιοῦτος ὢν, οἷος νήφων ὀρχεῖσθαι.
10. φλυαρεῖ ἁνὴρ, εἴ τίς ποτε καὶ ἄλλος.
11. ἐπὶ ἀκρῷ τῷ λόφῳ ἤ τις ἢ οὐδεὶς παρῆν ἰδεῖν.
12. οὐκ ἔστιν ὅπως ἀδικήσει ἐμὲ ἄλλως τε καὶ ὁ πατὴρ ὤν.
13. οὗτος ἂν εἴ τις ἄλλος τὸν πόλεμον ἀμαχεὶ ἂν τελευτήσειεν.
14. ἅπαντα ἀκούσει ἄλλως τε καὶ φίλος ὢν αὐτοῦ.
15. ἄλλοι τε ἄπιστοι καὶ οἱ ἱερῆς.

69.

1. ἡ σὴ ἀμέλεια τούτου μέρος τι αἰτία.
2. αἱ σπονδαὶ ἡμῖν οὐ βουλομένοις ἦσαν.
3. πάρειμι πευσόμενος ὅπως εὐνοίας ἔχουσιν οἱ αὐτόθεν.
4. ἐξεκόπη λίθῳ τὸν ὀφθαλμόν.
5. τοῦ πλούτου μετέδωκα αὐτῷ καίπερ ἀχαρίστῳ ὄντι.
6. ἐς τοῦτό σοι τελευτᾷ ἡ σὴ μωρία.
7. οὐ παντός ἐστι τούτοις ἀποκρίνεσθαι.
8. ἤλγει ὁ Χαρμιδῆς τὴν κεφαλήν.
9. ἡ τοῦ Δημοσθένους στρατιὰ πολὺ προύλαβε τῆς ὁδοῦ.
10. ἐν τῷδε τῷ ἀγῶνι πολλά σου ἐλαττοῦμαι.
11. ὁ Βρασίδας τριακοσίοις ὁπλίταις ἐβοήθησεν.

12. οἱ Ἀθηναῖοι ἀτελεῖ τῇ νίκῃ ἀνεχώρησαν.
13. μακαρίζω σε τῆς εὐτυχίας.
14. ἰδοῦ μέγα χρῆμα ὑός· εἴθ' ὤφελεν ἐμὸν εἶναι.
15. αὐτὸ τοῦτο ἀφικόμην.

70.

1. λέγοιτε ἂν ὁπουδήποτε γῆς εἰμί.
2. ἐν δεξιᾷ κεῖται ἡ νῆσος Ἀθήναζε πλέοντι.
3. τρὶς τῆς ἡμέρας φωνεῖ ἡ σάλπιγξ.
4. τοῦτό σοι ἐὰν δοκῇ προῖκα δώσω.
5. οὐ δεῖ τῆς Μαραθῶνι (or ἐν Μ.) μάχης ἐπιλανθάνεσθαι.
6. τῇ νόσῳ ἐτελεύτησεν ἔτη πεντήκοντα γεγονώς.
7. ὧδε ἐγένετο ὁ τῶν Ἀθηναίων καὶ τῶν Λακεδαιμονίων πόλεμος.
8. οὐ κρύπτειν τὰ ἀγγελθέντα τοὺς τοκέας δεῖ.
9. ῥᾷόν ἐστι νυκτὸς ἢ ἡμέρας καθεύδειν.
10. οἱ Ἀρκάδες μισθοῦ ἐστρατεύοντο.
11. Ἀθήναζε αὐτὸ τοῦτο ᾖα.
12. ἄμεινον ἦν μηδὲ ἀρχὴν ὡρμῆσθαι.
13. ἐκινήθη ἡ γῆ τῇ προτεραίᾳ τῆς μάχης.
14. εὐζώνῳ γε ἀνδρὶ τριῶν ἂν εἴη ἡμερῶν ὁδός.
15. ὅπως ποδῶν εἶχεν ἀπέδραμεν.

71.

1. σὲ μὲν περὶ πολλοῦ ποιοῦμαι, τὸν δὲ βασιλέα οὐδὲ γρῦ (or περὶ οὐδενός).
2. τί ἡμᾶς εἴργει μὴ οὐ φίλους γενέσθαι;

3. ὅσον οὐ τεθνηκὼς ἦν, ἔσωσεν δ' αὐτὸν ἀγροῖκός τις.
4. σὺ ἄρα ἀπολύσεις ἃ ὀφείλω· καὶ τίς ὤν;
5. τί δὲ σὺ ἐποίεις τούτων γιγνομένων;
6. Ἄπολλον ἀποτρόπαιε, τοῦ χασμήματος.
7. θαυμάζω εἰ μὴ ἔξεστί μοι λέγειν.
8. τὸν μὲν πατέρα πλούσιον ἔφη εἶναι, αὐτὸς δ' οὔ.
9. ἡσσήθησαν διὰ τὸ μὴ ἀνδρεῖοι εἶναι.
10. φεῦ τοῦ θανάτου· εἰ γὰρ εἶδον αὐτὸν πρὶν ἀποθανεῖν.
11. ἀνέστησαν στήλην ἐφ' ἧς ἐγέγραπτο τὰ τῶν τεθνεώτων ὀνόματα.
12. οὐκ οἶσθ', ὦ δαιμόνιε, τί χρήσῃ σαυτῷ.
13. ζηλῶ σε τοῦ νοῦ, τῆς δὲ δειλίας μισῶ.
14. ἐπριάμην ἵππον ἀργυρίου πάνυ πολλοῦ.
15. ἔσχον ἐς Μαραθῶνα τῆς Ἀττικῆς.

72.

1. ἓν ἀνθ' ἑνὸς δίδωμι.
2. ὢ τῆς τύχης· τὸ ἐλθεῖν γ' ἐμὲ ὕστερον.
3. ἐστεφάνωται Ὀλύμπια.
4. εὖ κεῖται ἡ νῆσος πλέοντι ἐς Ἰταλίαν.
5. οὗτος, τί ποιεῖς;
6. ἔκχει τοῦ Ἔρωτος.
7. κατήγγελται ἡμῖν ὡς ἑάλω ἡ Πύλος (or ἡ Πύλος ἁλοῦσα).
8. τοῦτ' ἐποίησα τοῦ μὴ ἰδεῖν σε.
9. οὔ σοι φθονῶ τοῦ πλούτου, πολλοῦ γε καὶ δεῖ.
10. ἄπαγε ἐκποδὼν, ὦ οὗτος.
11. πολὺ προὔλαβε τῆς ὁδοῦ.

12. πρῴ μὲν ἤλθομεν, ἑσπέρας δ' ἀπήλθομεν.
13. σῖτον εἶχον συχνοῦ χρόνου.
14. πολλῶν δὴ ἐτῶν οὐκ ἐπεδήμησεν ὁ Ἀγαθών.
15. δὶς τῆς νυκτὸς ἐξηγρόμην.
16. ὁμολογουμένως τῇ φύσει βιωτέον.

73.

1. ἐντεῦθεν ὁρμώμενοι ἐπολέμουν.
2. ἐς τὸ πεδίον ἀφικόμενος ἐξέτασιν ὅπλων ἐποιεῖτο.
3. ἐς τὴν Βοιωτίαν ἐσβαλόντες τὰς πόλεις ἐπολιόρκουν.
4. ἦλθεν Ἀρκάδων ἐπικούρους ἔχων καὶ ἐθελοντὰς οὐκ ὀλίγους.
5. οὐ διὰ πολλοῦ ἐς χεῖρας ᾖμεν τοῖς πολεμίοις.
6. προσεδεχόμεθα τὸ χωρίον ἀμαχεὶ (or αὐτοβοεὶ) λήψεσθαι.
7. ἐπιπεσόντων τῶν πολεμίων συνεστρεφόμεθα.
8. ἐν τῇ τοῦ χωρίου προσβολῇ πολλοὺς ἀπολέσαντες ἀπεκρούσθησαν.
9. ὡς ἐπὶ μάχην ἐτάχθησαν, οἱ μὲν Λακεδαιμόνιοι τὸ δέξιον κέρας ἔχοντες οἱ δὲ ἐπίκουροι τὸ εὐώνυμον.
10. οἱ πολέμιοι καταπλαγέντες ἐς φυγὴν ἐτράποντο.
11. οὕτως ἔγγυς ἐπολιορκούμεθα ὥστε μηδὲ ἐκ τῆς πόλεως ἐκδρομὴν τολμᾶν ποιεῖσθαι.
12. καλὰ ἔργα ἀποδειξαμένοις οὐ ὁμοίως προυχώρησεν αὐτοῖς.
13. τοῦ χωρίου χαλεποῦ ὄντος ἐπὶ κέρως ἐπορευόμεθα.

74.

1. οἱ Πελοποννήσιοι ἀεὶ καθ' ἕκαστον ἔτος ἐς τὴν Ἀττικὴν ἐσβαλόντες τὴν γῆν ἔτεμνον.
2. πολὺν ἀντείχομεν χρόνον, τέλος δὲ ἀπεκρούσθημεν.
3. τὰ τείχη περιελόντες τὴν πόλιν κατέσκαψαν (or ἐς τὸ ἔδαφος καθεῖλον).
4. τοὺς ἔνδον ἀόπλους καὶ τὴν πόλιν ἔρημον κατελάβομεν.
5. ὧδε ᾑρέθη τὸ ἄστυ.
6. πάντες οἱ ἐπίκουροι (or μισθοφόροι or μισθοῦ στρατευόμενοι) αὐτομολήσαντες πρὸς τῶν πολεμιών τὰ ὅπλα ἔθεντο.
7. ἐπιβοηθήσαντες ἐς αὐτὸ τὸ δέον παρῆμεν.
8. τοὺς φυγάδας ἐδίωκε καὶ πολλοὺς ἐζώγρησεν.
9. ἡ μάχη ὠμὴ καὶ κρατερὰ ἐγένετο.
10. τοῖς πολεμίοις ἀπαρασκεύοις οὖσι ἀπροσδοκήτως ἐπεθέμεθα.
11. παρὰ τῷ ποταμῷ στρατοπεδευσάμενοι τῇ ὑστεραίᾳ ἅμα ἕῳ τοὺς πολεμίους ἐπιτεταγμένους ᾐσθόμεθα.
12. ὀλίγου ἅπαντες ἢ ἐτραυματίσθησαν ἢ καὶ ἀπέθανον· ὀλίγοι τινὲς Θήβαζε ἐσῴθησαν.
13. ἐν τῷ πεδίῳ στρατοπεδευσάμενος τῇ ὑστεραίᾳ ὅπλων ἐξέτασιν ἐποιεῖτο.

75.

1. ἡσυχάζειν κελεύομεν μηδὲ μεθ' ἑτέρων εἶναι.
2. ἐπ' ἴσοις ἐσπένδοντο.

3. τοῦ πολέμου τελευτήσαντος οἱ ξύμμαχοι κατὰ πόλεις διελύθησαν.
4. μετὰ τοῦτο οὐδεμία πολέμου ἀνοκωχὴ ἦν.
5. τὴν πόλιν ἐπὶ μετρίοις δοκοῦσιν εἶναι παρέδοσαν.
6. οἱ ἔνδον λιμῷ πιεσθέντες ὑπεῖκον.
7. ἐὰν τοῖς λόγοις ὑπακούητε ἐς τὴν συμμαχίαν δεξόμεθα ὑμᾶς.
8. ταῦτα καὶ τὰ τοιαῦτα εἰπὼν πολλοὺς τῶν πολεμίων προσεποιήσατο.
9. ὁ τῶν Ἑλλήνων στρατηγὸς ἐς λόγους ἦλθε τοῖς τῶν βαρβάρων ἡγεμόσιν.
10. τῶν μισθοφόρων εἰσὶν οἳ αὐτομολήσαντες τοῖς πολεμίοις προσεχώρησαν.
11. ταῦτα συγχωρησάντων ἡμῶν τριάκοντα ἡμερῶν ἐκεχειρίαν ἐσπείσατο.
12. οὐδεμία ἐλπίς ἐστι τοὺς ἀγωνιζομένους ἐς ὁμολογίαν ἰέναι.

76.

1. ὦ τῶν καλῶν νεῶν. καὶ γὰρ ἔχει ἑκάστη κατάστρωμά τε καὶ τρεῖς ταρσούς.
2. τί δὲ τοῦτο; ὁ πούς, ὃς καὶ ἀνέχει τὸ λαῖφος πρὸς τὸν ἄνεμον.
3. ἔχει μὲν κεραίαν ὁ ἱστός, βεβαιοῦται δὲ προτόνοις.
4. ἔχομεν ἐν τῇ νηῒ πολλοὺς μὲν κάλως, σιδηρᾶς δὲ χεῖρας ὥστε ἔχεσθαι τῆς πολεμίας.
5. ἑκάστη μὲν κώπη ἧπται ἐκ σκαλμοῦ ἱμάντι, ἕκαστος δὲ ἐρέτης ὑπηρέσιον ἔχει.

6. καθίετε τὴν κλίμακα· ἐθέλει γὰρ ὁ ναύαρχος ἐσβαίνειν.
7. καλεῖ τόν τε κελευστὴν καὶ τὸν πρωράτην ὁ τριήραρχος.
8. ἀνάγεσθε δή· πλευσόμεθα δὲ ἐπὶ κέρως.
9. μετέωροι πλεῖν μέλλομεν ἕως ἂν καταλάβωμεν τοὺς πολεμίους.
10. διάβροχον ἐκεῖνο τὸ πλοιάριον, μέλλει δὲ καταδῦναι οὐ διὰ πολλοῦ.
11. ἆρα ἡδέως ἂν ἴδοις ναυμαχίαν; Ἥδιστά γε.
12. αὔριον οὖν ἀποπλεύσονται αἱ νῆες, σὺ δὲ εἰ βούλει ἅμα.

77.

1. ἔστι τις νεώσοικος μέγας ἐν Πειραεῖ, εὖ ἴσθ᾽ ὅτι.
2. κατασκευάζονται ἑκατὸν τριήρεις νῦν δή.
3. ὁλκάδες ἑβδομήκοντα καθειλκυσμέναι εἰσὶν ἤδη, ἅπασαι πλώιμοι.
4. ἡ μεγίστη τριήρης πληροῦται, καὶ ἐσκομίζεται τὰ ὅπλα.
5. τὰ μὲν πληρώματα ἄκρα, ἱστοὶ δὲ καὶ ἱστία ἄριστα.
6. ἐπίστανται δὲ εὖ μελετᾶν, καὶ ἀναπειρῶνται καθ᾽ ἡμέραν.
7. ἰδού, ὡς ταχέως πρύμνην ἀνακρούονται, ἐμβολῇ δὲ χρῶνται.
8. ἀνάξονται μετ᾽ ὀλίγον ὡς τοὺς πολεμίους διαφθεροῦντες.
9. τάχιστα πλεῖ ἡ μακρὰ ἐκείνη, ἔστι γὰρ Σαλαμινία.

10. ὁ κυβερνητὴς δυοῖν πηδαλίοιν κυβερνᾷ τὴν ναῦν, ἑτέρωθεν ἑτέρῳ.
11. ἐὰν οὔριος γένηται ὁ ἄνεμος, ἐς τὰς Συρακούσας ἀφίξονται τριῶν ἡμερῶν (or τριταῖοι).
12. ἐὰν μὴ πρύμνηθεν πνέῃ ὁ ἄνεμος, δεήσει ἐπιστροφὰς ποιεῖσθαι.
13. ἰδού, ὑφίενται ὡς μάλιστα· δέδοικα μὴ χείμων γίγνεται.

78.

1. καὶ μὴν ἰδού, ἑκατὸν νὴ τὸν Δία τριήρεις.
2. παιανίσαντες διακόψωμεν τὴν τάξιν.
3. αἱ δύο νῆες ἐκεῖναι, αἱ πλάγιαι κείμεναι ἀλλήλοιν, οὐκ ἐπίστανται ναυμαχεῖν.
4. πεζομαχίᾳ μὲν οὖν ὁμοιότερον ἢ ναυμαχίᾳ, οἶμαι.
5. ἐκ περίπλου δεῖ ταῖς ἐμβολαῖς χρῆσθαι.
6. ῥυππαπαῖ· πόσοι ἐπιβάται ἔνεισιν;
7. δέκα μὲν ναῦς ἀπωλέσαμεν, εἴκοσι δὲ εἵλομεν.
8. οὕτως βέβλαπται ἡ στρατηγίς, ὥστε δεῖ Ἀθήναζε κατάγεσθαι.
9. ἀπέθανον μὲν χίλιοι ἄνδρες, τραυματιῶν δὲ πλήρης ἡ κοίλη.
10. μή σοι μελέτω, νενικήκαμεν γάρ, οἱ δὲ πολέμιοι τοὺς νεκροὺς αἰτοῦσιν ὑποσπόνδους.

79.

1. οἱ Ἀθηναῖοι τὸν Σωκράτη ἐδίωκον ὡς τοὺς νέους διαφθείραντα.

2. τοῦ Σωκράτους πολλὰ ἀπολογησαμένου θάνατον κατεψηφίσαντο.
3. ὁ Τιμοκράτης ἀεὶ διὰ δίκης ᾔει τοῖς φίλοις.
4. ὁ διώκων πολλὰ τοῦ φεύγοντος κατηγορεῖτο.
5. τῶν δικαστῶν διαψηφισαμένων ἀπέφυγεν.
6. ἐὰν λόγον διδῶσιν οἱ δικασταὶ οἶμαι πείσειν ὑμᾶς ὡς ἀναίτιός εἰμι.
7. ἐὰν ταύτην τὴν δίκην ὄφλῃς τἄσχατα δὴ κινδυνεύσεις.
8. εὐθύνας ὧν πεπολίτευται ὑφέξει.
9. δίκην ἐρήμην ὄφλων πολλὰ χρήματα ἐζημιώθη.
10. ψευδομαρτυριῶν ἑάλω.
11. οἱ νόμοι κελεύουσι δεδέσθαι τοὺς ὀφείλοντας.
12. ἐξούλης ἔλαχόν μοι δίκην.
13. οἱ δικασταὶ πάντες ᾤκτιρον αὐτόν εἴτε ἀποψηφισάμενοι εἴτε οὖν κατακρίναντες.

80.

1. οὔτε λόγον διδόντων κατακρινάντων τε τῇ ὑστεραίᾳ ἀπέθανεν.
2. ἐὰν πρὸς τὴν δίκην μὴ ἀπαντᾷς τῇ ἐσχάτῃ ζημίᾳ ἔνοχος ἔσει.
3. Ἀθήναζε ἐπανελθὼν καὶ εἰσαγγελθεὶς κατεγνώσθη.
4. μάρτυρας ὧν εἴρηκα παρέξομαι.
5. τῷ Κόνωνι δίκην αἰκίας ἐλάχομεν.
6. ἐν τῷ ἐμῷ ὕδατι ἐὰν βούλῃ ἀποκρίνεσθαι δώσω.
7. ἀπαντήσας πρὸς τοὺς διαιτήτας ἀζήμιος ἀπηλλάγη.

8. *συνήγορον ἐμισθώσατο ὅστις ὑπὲρ αὐτοῦ πρὸς τὸν διαιτητὴν λέξει.*
9. *τοῖς ἱεροσυλοῦσι θάνατος ἡ ζημία κεῖται.*
10. *ἐὰν ταῦτα λέξω παρανόμων φεύξομαι.*
11. *τοῦ ἐναντίου δέομαι μὴ πράσσεσθαι ἃ κατὰ τὸν νόμον ἔξεστιν.*
12. *λέγεται ὁ Δράκων τὴν ζημίαν καὶ μικροῖς ἀδικήμασι θάνατον τεθηκέναι.*
13. *ἀποροῦσιν ὅτι ἀληθὲς ἐγκαλῶσιν ἀδίκημα.*
14. *οὐκ ἀφήσετε ἐμὲ οὐδὲ πείσαντα ὑμᾶς τοὐμὸν δίκαιον εἶναι.*

81.

1. *πότε ἐγένετο τὸ βρέφος; πρῴην ἕωθεν.*
2. *τρία μὲν ἔτη γεγονὸς τὸ παιδίον, τὰ δὲ γενέθλια αὔριον.*
3. *ποιοῦνται τὰ ἀμφιδρόμια, ἔπειτα δὲ ὄνομα θήσουσιν.*
4. *ἐνενήκοντα ἔτη γεγονὼς ἀπέθανε, καὶ νῦν ἐκφέρεται.*
5. *ἰδού, ὡς κόπτονται αἱ γυναῖκες καὶ ὀλολύζουσιν.*
6. *μέλαν ἱμάτιον φορεῖ ὁ Δημοσθένης· τίς ἀπέθανεν ἄρα;*
7. *τὰ γενέσια* (or *τὰ ἐνιαύσια*) *ποιοῦνται παρὰ τῷ τάφῳ.*
8. *ταφήσεται δημοσίᾳ ἐν Κεραμεικῷ ὡς κοινῇ ὠφελήσας τὴν πόλιν.*
9. *τὴν προμνήστριαν ὁρῶ· τίς γαμεῖ δή;*
10. *γεγάμηκε μὲν τὴν Ἀσπασίαν ὁ Περικλῆς, ἡ δὲ Σαπφὼ οὐ γαμεῖται τῷ Ἀλκαίῳ.*

11. ἄπαγε ἐκποδὼν τὴν κλίνην ἐκείνην ἐν ᾧ γάμους ἑστιῶμεν·
12. ἑστιᾷ ὁ Θεμιστοκλῆς τοὺς φίλους ἅπαντας· ἐξέδωκε νῦν δὴ τὴν θυγατέρα.
13. καὶ μὴν οἵδε ὅ τε νύμφιος καὶ ἡ νύμφη· συμπέμπωμεν καὶ ἡμεῖς.

82.

1. οὐ γεωργὸς μόνον ἐκεῖνος· τρέφει γὰρ ἵππους.
2. καὶ πρόβατα καὶ τράγους ἔχει, ὧν ἐκ τοῦ γάλακτος τυρὸν ποιεῖ.
3. οὐκ ἔχω τὴν ἐνθάδε γῆν εἰπεῖν, ὁποία τις ἐστίν.
4. ἀγαθὴν μὲν πυροῖς τε καὶ κριθαῖς φασιν, ἀλλὰ πόα οὐ πολλή ἐστιν.
5. ὁ ποιμὴν τὴν μάνδραν ἔχει ἐπὶ τοῖς ὄρεσιν, οὗ καὶ κατοικεῖ.
6. διὰ τὸ μέλι ἐπιφανῆ εὖ ἴσθι ὄντα τὸν τόπον τοῦτον.
7. χορὸν ποιησόμεθα τῇ νουμηνίᾳ.
8. οὐκ αὐξήσεται τὰ φυτά, ἐὰν μὴ ἀροῖς τε καὶ φυτεύῃς.
9. αὐτίκα δὴ μάλα καιρὸς ἔσται θερίζειν, ἔπειτα δὲ ὁ τρυγητός·
10. τά τε μειράκια καὶ αἱ κόραι γυμνοῖς τοῖς ποσὶν ἔρχονται ἅπαντες ὥστε πατεῖν τὰς σταφυλάς.
11. ὁ μὲν οἶνος τρέχει ἐς τὸν ληνόν, ἡμεῖς δὲ πίνομεν.
12. ἔς τε δράγματα συνδεῖται ὁ σιτὸς καὶ ἀποτίθεται ἐς ἀποθήκην.

83.

1. πλουσιώτερος ἔμπορος καπήλου.
2. οἱ ἀγορανόμοι δεδιώκασι τὸν τραπεζίτην.
3. νῦν δὴ ἀπὸ τῶν ἰχθύων ἔρχομαι φέρων ἃ ἐπριάμην.
4. πῶς ὤνιος ὁ ἀμφορεὺς οὗτος; δέκα δραχμῶν. ἆρ' ἔχεις κέρματα;
5. πλησίον τῶν ἄνθων ἔριν ἐποιοῦντο ἀλλήλοιν δύο τινές.
6. ἐσφέρουσιν οἱ κατ' ἀγροὺς καρποὺς καὶ λάχανα καθ' ἡμέραν.
7. ἔξεστι δεῖγμα λαβεῖν τούτων τῶν σιτίων ἵνα δείξω τῇ γυναικί;
8. ἔχει ὁ φίλος ἐργαστήριον ξιφῶν καὶ δούλους ἑκατόν.
9. πριάμεθα μὲν ἄξια, πωλοῦμεν δὲ τίμια ἅπαντα.
10. πῶς ὤνιοι σήμερον οἱ ἰχθύες; οὕτως ἄξιοί εἰσιν ὥστε ἀποθνῄσκουσι πείνῃ οἱ ἰχθυοπῶλαι.
11. μὴ γὰρ ἐκβάλοις ἂν τοὺς καπήλους ἅπαντας ἐκ τῆς πόλεως;
12. δεδάνεισμαι τάλαντα δύο ἐπὶ δραχμῇ.
13. δανείζει ὁ τραπεζίτης τοῖς ἐγγυήτας παρεχομένοις.
14. μεμίσθωμαι μέταλλα ἀπὸ τραπεζίτου τινὸς Ἀθηναίου.

84.

1. φέρε ἐλθόντες ἐς τὴν παλαίστραν ἀγωνιζώμεθα δή.
2. οὔπω πάρεστιν ὁ παιδοτρίβης, ἐν μέσῳ γὰρ τῷ ἀρίστῳ ἐστίν.
3. ὢ τοῦ βλακός· πῶς οὐ δεινὸν τοῦτο; ἀλλὰ αὐτοὶ γὰρ εὖ πράξομεν.

4. φεῦ, λαβήν μοι ἐνδέδωκας· νῦν ἔχω σε μέσον.
5. ὢ τοῦ σοφίσματος· καὶ νῦν ἔσφηλας αὐτόν (or ὑπεσκελίσας).
6. ἐνίκησεν ἐκεῖνος πέρυσι πάντας πάλην.
7. παῖδας μὲν οὖν πάλην Ὀλύμπια.
8. χθὲς ἦν ἐνθάδε ἀγὼν πυκτικός, ἐνικήθη δὲ ὁ Περικλῆς.
9. ἐν τοῖς Παναθηναίοις ἀμφορεὺς ἐλαίου τὸ ἆθλον.
10. Ὀλυμπίᾳ μὲν στέφανον ἐλαίας, Ἰσθμοῖ δὲ πεύκης, Νεμέᾳ δὲ σελίνου, Πυθοῖ δὲ δάφνης ἔχει ὁ νικήσας(or ὁ νικῶν).
11. ἄξιος δὴ ἰδεῖν ὅ τε ἱππικὸς ἀγὼν καὶ ὁ ὁπλιτικὸς δρόμος.
12. ἔγωγε ἥδιστα πάντων ἂν ἴδοιμι κέλητας.
13. οἱ βραβῆς οὐ ταὐτὸ πάντες γιγνώσκουσιν.
14. δόλιχον Ὀλυμπίᾳ ἀγωνιζόμενος ἐνίκησεν ἀκονιτί.

85.

1. σὺ μὲν δεινὸς πεσσευτής, ἐγὼ δὲ τὸν ἀφ' ἱερᾶς κινῶ.
2. παίζωμεν μυίνδα.
3. ἥδιον μὲν οὖν ἔγωγ' ἂν κύβοις ἢ ἀστραγάλοις, εἴ σοι δοκεῖ.
4. ἐγὼ μὲν τρὶς ἓξ ἔβαλον, σὺ δὲ δὶς ἓν καὶ τέσσαρα.
5. σφαίρᾳ τε καὶ ξύλῳ κἂν παίζοις ἥδιστα.
6. ἄρτι πέπαυνται οἱ παῖδες ἐλαύνοντες τοὺς τρόχους.
7. ἔχω στρόμβον καὶ ῥόμβον.
8. ἐν τῷ κήπῳ αἰώρα τίς ἐστιν, ἐν ᾗ καθήμεναι ᾄδουσιν αἱ κόραι.

9. εἰώθαμεν παίζειν ἀποδιδρασκίνδα ἑσπέρας.
10. ἄριστον μὲν τῶν ἄθλων τὸ πένταθλον, χαλεπὸν δέ.
11. ἔνεισιν αὐτῷ ἅλμα, δίσκος, ἄκων, δόλιχος, πάλη.
12. ὁ Ὀδυσσεὺς ἔβαλε τὸν δίσκον πολλῷ πορρωτέρω ἢ τῶν Φαιάκων οἱ ἄριστοι.

86.

1. τῶν στρατιωτῶν τὰ μὲν δύο μέρη ἀπέθανον, οἱ δ' ἄλλοι ἀπέφυγον.
2. εἰ πωλήσειας τόνδε τὸν ἵππον, δοίην ἂν τρίτον ἡμιτάλαντον.
3. στρατηγὸς ᾑρέθη ἐς τὸν πόλεμον ἕκτος αὐτός.
4. τῶν νεῶν αἱ μὲν τριάκοντα κατεποντίσθησαν, αἱ δὲ εἴκοσι ἀπέπλευσαν.
5. τὰ τρία μέρη τῆς οὐσίας ὅσον οὐκ ἀπώλεσεν.
6. τῶν πέντε ἀνδρῶν οἱ μὲν τέσσαρες ἀπέθανον, ὁ δ' ἀπεφυγεν.
7. ἀπέφυγον οἱ πολλοὶ μὴ ἀποθάνοιεν.
8. ἕκτον ἤδη ἔτος πολεμοῦσιν.
9. ἀπῇσαν ἐς τὸν πόλεμον ἓξ ἀδελφοί, ὧν οἱ μὲν δύο κατῆλθον, οἱ δὲ τέσσαρες ἀπέθανον.
10. πάσης τῆς οὐσίας μόνον τὸ πέμπτον μέρος περιπεποίημαι.
11. τί βουλόμενος εἶπεν ὁ ποιητὴς ὡς πλέον ἥμισυ παντός ;
12. εἰπέ μοι, πόστος ἔσει ἐν τῇ τάξει ;
13. τελευτὴν ἕξει αὐτίκα τὸ ἔργον, ἐπεὶ τῶν ἑπτὰ μερῶν τὰ πέντε τετέλεσται ἤδη.

87.

1. αὕτη ἡ φιάλη ἕλκει μὲν τέταρτον ἡμιτάλαντον, χωρεῖ δὲ ἓξ ἀμφορέας.
2. ἑκατὸν σταδίους ἐπορεύετο κατὰ τάχος τὸ στράτευμα.
3. καλῶ σ' ἐπὶ δεῖπνον εἰς ἔνην.
4. σήμερον μὲν ἕλκω ἑκατὸν πεντήκοντα μνᾶς, πέρυσι δὲ μόνον ἑκατόν.
5. τῆς ὀπώρας εὑρίσκομεν σῦκα παλάμην εὐρέα.
6. ὢ τοῦ γίγαντος· πῶς γὰρ οὐχὶ ἓξ πήχεις καὶ σπιθαμὴν μακρός ;
7. δός μοι οἴνου τε τέσσαρας κοτύλας καὶ μίαν ὕδατος.
8. εἷς μέδιμνος κριθῶν ἑνὶ ἀνδρὶ ἅλις.
9. ἀπέχουσιν ἀπ' Ἐλευσῖνος αἱ Ἀθῆναι πολλοὺς σταδίους.
10. οἱ ναῦται ἔνεον ἐν τῇ θαλάσσῃ χρόνον σύχνον.

88.

1. περὶ τὴν αὐτὴν ὥραν τοῦ ἦρος, πρὶν ἀκμάζειν τὸν σῖτον, ἀπελθόντες οἴκαδε οἱ πολέμιοι ἀφίκοντο τῇ τεσσαρακοστῇ ἡμέρᾳ.
2. μετ' οὐ πολὺ οἰκέτης τις ζητῶν τὸν δεσπότην εὗρεν ἐκεῖνον μὲν οὔ, τὸν δ' ἑαυτοῦ υἱὸν τεθνηκότα.
3. αὐτίκα ἤρχετο ἔρις τριῶν ἀνθρώπων, ἑκάστου ἀντιποιουμένου ἑρμαίου τινός.

4. ἔμενον αἱ σπονδαὶ ἔτη ὀκτὼ καὶ τριάκοντα, ὥστε εἰώθεσαν οἱ νέοι εἰρήνῃ χρῆσθαι.
5. ἐλέγοντο δὲ ἐν τῷ μεταξὺ περὶ ὀπώραν λῃσταὶ δῃῶσαι τὴν πέλας.
6. κατ' ἔτος μισθὸν ἐδίδουν οἱ γεωργοὶ ὥστε μὴ ἀδικεῖσθαι.
7. τελευτῶντος δὲ τοῦ αὐτοῦ χειμῶνος γελοία τις φήμη ἐγίγνετο περὶ αὐτοῦ.
8. ἐς νέωτα οἱ λῃσταὶ δῃώσουσιν οὐ τὰ μὲν τὰ δ' οὔ, ἀλλ' ἅπαντα ἐφεξῆς.

89.

1. πέμπτῃ 'Ανθεστηριῶνος ἱσταμένου ἔλαθον ἀποφυγόντες οἱ λῃσταί.
2. εἴθ' ὤφελες παραγενέσθαι πρώτῃ ἱσταμένου Μουνυχιῶνος.
3. μηνὸς 'Ανθεστηριῶνος πολλὴ γίγνεται χιών.
4. Θαργηλιῶνος ἕνῃ καὶ νέᾳ ἔφευγον ψευδομαρτυριῶν.
5. ἐπιμελήσομαι ὅπως ἀφίξομαι τετράδι 'Ελαφηβολιῶνος ἱσταμένου.
6. μηνὸς Σκιροφοριῶνος νοσῶν ἔτυχον.
7. Γαμηλιῶνος ἱσταμένου πρώτῃ διαδίδομεν δῶρα ἀλλήλοις.
8. 'Ανθεστηριῶνος τρίτῃ ἐπὶ δέκα ἄρχονται οἱ χόες.
9. Θαργηλιῶνος ἑβδόμῃ ἱσταμένου γίγνεται τὰ Θαργήλια.
10. ἀφικόμην ἂν Σκιροφοριῶνος ὀγδόῃ μετ' εἰκάδας εἰ ἔμαθον τοῦτο.
11. 'Ανθεστηριῶνος ἕνῃ καὶ νέᾳ σπονδαὶ ἐγένοντο.

90.

1. Ἑκατομβαιῶνος ἕκτῃ ἐπὶ δέκα γίγνεται τὰ συνοίκια.
2. εἰ κατεῖδον αὐτὸν τετράδι Μεταγειτνιῶνος ἱσταμένου, ἐφόνευσ' ἂν αὐτόν.
3. Βοηδρομιῶνος μὲν πρώτῃ ἱσταμένου πέρδικας, Πυανεψιῶνος δὲ φασιανοὺς τοξεύομεν.
4. μηνὸς Πυανεψιῶνος γίγνεται τὰ Ἀπατούρια.
5. Μαιμακτηριῶνος πρώτῃ ἱσταμένου ὕμνους ᾄδομεν περὶ πάντων τῶν ἁγνῶν ἀνθρώπων.
6. ὡς μὲν Ποσειδεῶνος δεκάτῃ ὑστέρᾳ ἐνόσουν οὐκ ἀγνοῶ, νῦν δὲ ὑγιαίνω.
7. ὦ Ζεῦ, τὸ χρῆμα τῆς χιόνος ὅσον ἐγένετο Μαιμακτηριῶνος πέμπτῃ ἐπὶ δέκα.
8. γίγνεται τὰ γενέθλιά μου Ἑκατομβαιῶνος τετράδι ἐπὶ δέκα.
9. εἴθ' ὤφελόν σε ἑωρακέναι Μεταγειτνιῶνος ἕνῃ καὶ νέᾳ.
10. ἄγομεν αὐτοὶ θυσίαν Πυανεψιῶνος τετράδι μετ' εἰκάδας.
11. ὅπως οἴκοι ἔσει Βοηδρομιῶνος τετράδι ἐπὶ δέκα, ἵνα σε ἴδω ἐγώ.

91.

1. ἐκείνην τε τὴν ἡμέραν καὶ τῆς ὑστεραίας μέρος τι πολὺς ἦν ὁ χειμών.
2. περὶ τὴν αὐτὴν ὥραν λιμὸς ἦν.
3. νὺξ ἐν μέσῳ, οἱ δὲ προδόται ἐνέδοσαν.

4. κατὰ μικρὸν πορευόμενοι, τεταρταῖοι Ἀθήναζε ἀφίκοντο.
5. μετὰ δὲ τρία ἔτη στρατηγὸς ᾑρέθη ὁ Περικλῆς πέμπτος αὐτός.
6. δέκατον μὲν νῦν ἐνιαυτὸν πολεμοῦσιν.
7. ἕως ἐν τῇ χώρᾳ ἦσαν οἱ πολέμιοι οὐκ ἐπαύετο ὁ λοιμός.
8. ἐπείνων ἑξήκοντα ἐφεξῆς ἡμέρας τε καὶ νύκτας.
9. τοῦ δ' ἐπιγιγνομένου θέρους ἐξῄει ὁ στρατὸς περὶ τὴν σποράν.
10. ἡ μάχη ἐτελεύτα ἐς νύκτα· καὶ ἐπειδὴ ὀψὲ ἦν ἤδη κατὰ χώραν ηὐλίσαντο.
11. ἅμα τῇ ἕῳ ἦλθεν, ἀλλ' οὐχ εὑρὼν οὐδένα μετὰ δυσμὰς εὐθὺς ἀπῴχετο.
12. ἐὰν προχωρήσῃ μοι πεμπταῖος ἐπάνειμι.

92.

1. ἀπῆλθον περὶ πλήθουσαν ἀγοράν.
2. ὀλίγον μείνας χρόνον ἐμισθωσάμην ἅμαξαν.
3. περὶ μέσας νύκτας ἐξέλειπεν ἡ σελήνη.
4. ἅμ' ἕῳ ἀφικνοῦνται ἐκ τῶν ἀγρῶν οἱ γεωργοί.
5. ἦλθον ἂν κνεφαῖος εἰ ἠδυνήθην.
6. οὐχ ὑπνώσσω οὔτε νυκτὸς οὔθ' ἡμέρας.
7. τρισχίλιοι ἄνδρες μάχῃ ἀπέθανον Γαμηλιῶνος τετράδι ἐπὶ δέκα.
8. κατ' ἐνιαυτὸν ἡ ἀρχή, εἴ γε μὴ ἡμάρτηκα.
9. ἕκτην μὲν ἡμέραν ἐπιδημοῦμεν, μενοῦμεν δὲ ὡς τριάκοντα ἡμέρας μάλιστα.

10. δὶς μὲν τοῦ ἐνιαυτοῦ ἑορτή ἐστιν, οἱ δ' Ὀλυμπικοὶ ἀγῶνες διὰ τεττάρων ἐτῶν.
11. ἑσπέρας Μέγαράδε ἀπῆλθον αὐτοῖς ἵπποις.
12. ἦρος μὲν πολὺς ῥεῖ ὁ ποταμὸς οὗτος, ἐγὼ δ' οὐδὲν φοβοῦμαι μὴ ἀποπνιγῶ.

93.

1. ποῦ μοι αἱ ἐμβάδες; περιπατεῖν βούλομαι.
2. βούλοιʼ ἂν ἔχειν νέον πέτασον; καὶ γὰρ ἄξιοι οἱ πέτασοι σήμερον.
3. ἅτε ἀποδημήσων χρῄζω βακτηρίας τε καὶ χλαίνης.
4. ὦ τοῦ ποικίλματος, φιλτάτη, τοῦ πέπλου· πόσου δ' ἐπρίω;
5. δέκα μνῶν κατέβη ἀφ' ἱστοῦ· ὁ δ' ἀνήρ ἔβλεψε νᾶπυ, ἐπεὶ εἶπον.
6. σκιάδειον ἄρα ἐπρίω ἄκοντος τοῦ πατρός.
7. ὁπόταν περιπατῶ, χιτῶνά τε φορῶ καὶ ἐπ' αὐτῷ χλαῖναν.
8. φέρω δραχμὴν ἐν τῷ κόλπῳ ὥς σοι δώσων.
9. ὡς ἡδέως σὲ βλέπω· πόθεν δ' ἐκτήσω τὸν πέτασον, ὦ μέλε;
10. ἀλλ' αὐτὸς γὰρ ἐμαυτῷ ἐποίησα· σοφὸς γάρ εἰμί τοι τὰ τοιαῦτα.
11. ἀμπεχόνης δεῖ μοι καὶ ζεύγους ὑποδημάτων.
12. φεῦ· ὑποδήματα μὲν οὐκ ἔχω, κοθόρνους δὲ μόνον.
13. κακῶς ἀπόλοιο. φεῦ τοῦ λακίσματος τοῦ χιτῶνος.
14. ἀλλ' ἡ γὰρ σὴ περόνη, ὦ γύναι, ἔσχισε τὸν χιτῶνα.
15. οἱ σοὶ μὲν οὖν δάκτυλοι, ὠνόητε.

94.

1. ἐπεκόσμει τὰ λεγόμενα πρὸς τὸ δεινότατα λέγειν.
2. τούτῳ τῷ νόμῳ μένει ἄρα ἡ ἀδικία ἐν ἡμῖν.
3. ἐγώ τε καὶ σὺ ἐναντία δὴ φρονοῦμεν ἐν τῇ πόλει.
4. καρτερεῖν σε δεῖ μηδὲ ἐνδοῦναι μηδέν.
5. ἀνάγκης οὔσης οὐ πρὸς κέντρα ἐλάκτιζεν.
6. ἐταλαπωρεῖτο ὡς ἐν ἀνδράσιν οὐ φίλοις.
7. εὖ ἐπαινεῖς αὐτὸν ὡς οὐ τὰ αὑτοῦ ζητοῦντα· ἄξιος γάρ.
8. τοῦτ' ἔπαθεν ὁ πατὴρ ὑπὸ στασιαζόντων τῶν πολιτῶν.
9. νέον τι εἶπες τοῦτο πολιτευόμενος.
10. σῴζειν ποιεῖ ἀεὶ τοὺς πολίτας τὴν σωφροσύνην εἴ τις καὶ ἄλλος.
11. ἐκ τοῦδ' εἰκὸς ἀφανισθῆναι τοῦθ' ὃ κἂν ἐς πολέμους καταστήσειε τὰς πόλεις.
12. καλόν τε καὶ ἐπιεικὲς δοκεῖ τὸ ἐξεῖναι τοῖς ἐμπόροις πανταχοῦ τε καὶ ὅπως ἂν βούλωνται ποιεῖσθαι τὴν ἐμπορίαν.
13. κατάδηλος εἶ οὐ τὰ πάντα σκοπῶν, ἀλλὰ τὸ ἓν μέρος μόνον, ἐπεὶ τοῦτ' εἶπες.

95.

1. μακρηγορεῖν ἐν εἰδόσιν οὐ βούλομαι.
2. πῶς οὐκ ἄτοπόν ἐστιν ἄνδρας μὲν οἴκοι ἡσυχάζειν γυναῖκας δὲ ἐν ἀγροῖς ἐργάζεσθαι;
3. οὔποτε ἑκὼν εἶναι δεῦρο πάλιν κάτειμι.

4. οὐκ ἤθελον οἱ στρατιῶται ἕπεσθαι ἡμῖν καίπερ εἰδόσι τὴν πόλιν ἑλεῖν.
5. ὀψὲ μὲν ἦλθεν, πρωιαίτερον δὲ τοῦ δέοντος ἀπῆλθεν.
6. ἡμῖν τοῖς εὐεργετήσασιν οὐδεμίαν ᾔδεσαν χάριν.
7. ἐκ βασιλέως πτωχὸς ἐγένετο.
8. πάλαι σοι ταὐτὰ παραινῶ (or ἐκ πολλοῦ διατελῶ παραινῶν).
9. μέχρι τούτου ὡρίσθω ἡ βραδύτης ὑμῶν.
10. τοσαῦτα ἐμοὶ προειρήσθω.
11. τοὺς δικαστὰς χρήμασι πείσας ἀπέφυγεν.
12. ἔτη ἐστὶν ἔννεα εἰς τὴν τελευτὴν τοῦ πολέμου ὅτε οἱ Ἀθηναῖοι ἐν Σικελίᾳ ἡσσήθησαν.
13. μέχρι τούτου πάντα εὖ ἔχει· ἐὰν πλείω αἰτῶμεν ἔστιν ὅπως καὶ ἐλασσόνων τευξόμεθα.
14. τὸν ἄνδρα πλουσιώτερον ἢ σωφρονέστερον ἂν καλοίης.

96.

1. ὀλίγων ἢ καὶ οὐδενὸς ἥσσων δοκεῖ ἐμοὶ εἶναι.
2. ἆρα μὴ τοιαῦτα διδάσκειν τις δύναται ἃ μὴ αὐτὸς ἐπίσταται;
3. τοὺς ἀδικοῦντας κολάζειν δεῖ κἂν πάνυ πλούσιοι τυγχάνωσιν ὄντες.
4. ὁ Σωκράτης οὔποτε μισθὸν ἐπράξατο ὧν ἐδίδασκεν.
5. ταῦτα μαθόντες ἐξ εὐνοίας ἐς ὑποψίαν μετέπεσον.
6. χάριν οἶδά σοι ὧν παραινεῖς.
7. ἥδεται τοῖς φίλοις ὁμιλῶν.
8. τὸν Ἑλληνικὸν οἶνον τοῦ Ἰταλικοῦ ἥδιον πίνω.
9. οἱ ἐνοικοῦντες τὸν τοιχωρύχον ἐπ' αὐτοφώρῳ λαβόντες ἠφάνισαν.

10. πάντας τοὺς φίλους (ἐπὶ δεῖπνον) καλούμεθα.
11. παθήματα συνηνέχθη γενέσθαι οἷα οὐχ ἕτερα ἐν ἴσῳ χρόνῳ.
12. ἔγνωκα τὴν ἐς τὸν πόλεμον τόλμαν γενομένην.
13. ἠγανάκτουν μὲν οἱ Θηβαῖοι ὀργὴν δὲ φανερὰν οὐκ ἐποιοῦντο.
14. πῶς δεῦρο ἦλθες; ὅπως δεῦρο ἦλθον· πεζῇ δήπου.

97.

1. ἐν ταὐτῷ ἔτει ἥ τε γῆ ἐκινήθη καὶ ὁ ἥλιος ἐξέλιπεν.
2. χθιζινὸς ὡς τὸν πατέρα σου ἔπεμψα εἴ πως δύναιτο ἐμοὶ βοηθεῖν.
3. ἀπορῶ ὅτι χρήσωμαι τῷ πλούτῳ.
4. ὅσῳ θᾶσσον ἄπει τοσούτῳ καὶ ἄμεινον ἕξει.
5. ὁ Θουκυδίδης ὕστερος ἀφίκετο ἢ ὥστε τὴν Ἀμφίπολιν σῴζειν.
6. πρόσεχε τοῖς λεγομένοις.
7. οὐ μνησικακεῖν δεῖ τὸν σώφρονα.
8. ἄγε δή, ποιῆσόν τι ἀνύσας.
9. φανερός ἐστι παράνομα γράφων.
10. πάλαι συνιέναι σοι ἐλπίζω.
11. τὸν τηλικοῦτον ὧδε ἁμαρτάνειν.
12. οἱ Μῆδοι τοὺς ἐνοίκους τῆσδε τῆς πόλεως ἀνέστησαν.
13. χειμῶνος ἀσφαλέστερόν τὸ οἴκοι μένειν.
14. θαλασσοκρατοῦσιν οἱ Βρίταννοι.
15. οὗτος εἴ τις καὶ ἄλλος ἁλώσεται.

98.

1. ἐρωτῶντι ὅπως τὸ σῶμα ἔχω οὐδὲν ἀπεκρινάμην.
2. οὐκ εἴων ἡμᾶς μάχην κινδυνεύειν.
3. τί ἄλλο ἢ φλυαρεῖς;
4. ὤμοσεν (ἦ μὴν) ταῦτα Ἀθήναζε μὴ ἀγγελθῆναι.
5. ἡ μάχη ἐς νύκτα ἐτελεύτα.
6. τὸν πάτερα πείσας στρατεύεται.
7. θαυμάζω εἰ μὴ (or οὐ) συνιέναι δύνασαι.
8. εἰ γὰρ παῖς ὢν εἰργαζόμην, ἵνα μὴ γέρων ἐπτώχευον.
9. ὅσῳ πρεσβύτερος ἐγίγνετο τοσούτῳ καὶ μᾶλλον πλούτου ἀντείχετο.
10. οὐκ ἔστιν ὅπως κωλύσω ἀπιέναι αὐτόν.
11. δειλός τίς ἐστιν, ἵνα μήτι πικρότερον ἀποκαλῶ.
12. προσερωτῴην ἂν καὶ τόδε.
13. πρὶν δέκα γεγονέναι ἔτη ἐς τοῦ Φιλίππου ἐφοίτων.
14. ἐξ οὗ ἐκ παιδῶν ἐξῆλθον ἀεὶ ἀποδημῶ.
15. σωφρόνων ἂν εἴη ἀνδρῶν τοιαῦτα νουθετοῦντος ἐντρέπεσθαι.

99.

1. ὀλίγου δέω νομίζειν (or σχεδὸν νομίζω) ἡμαρτηκέναι ἡμᾶς.
2. ὁ τολμηρὸς τοιούσδε οὐκ ἂν ἐκσταίη κινδύνους.
3. εἰδότι μοι ταῦτ' ἔλεξας.
4. ἀντὶ πολλοῦ ἂν δεχοίμην τὸ πάλιν νέος εἶναι.
5. τί δεῖ με χρυσοῦ, ὅτῳ ἐπαρκεῖ τὰ ὑπάρχοντα.
6. ἀσελγὴς ὁ νεανίας, οὐδὲ οἷον ἔδει εἶναι.

7. εἴ γε ἐνετράποντο ἐμοῦ οὐδενὶ περιέπεσον ἂν κακῷ.
8. εὑρήσεις πάντας ἐμοῦ μᾶλλον ἀξίους ὄντας τοιαῦτα ὀνειδίζεσθαι.
9. πολυπραγμονεῖ ἁνὴρ καὶ οἴεταί τι εἶναι.
10. τοὺς ἄλλους ἀπολῦσον· ἀρκέσω ζημιωθεὶς ἐγώ.
11. ὁμολογουμένως τῶν ἐφ' ἡμῶν λέγειν δεινότατός ἐστιν.
12. τί σοι μέτεστι σοφίας καὶ δικαιοσύνης ;
13. πολλὰ χρήματα τοῖς τὰ σφέτερα ἑλομένοις ὑπέσχοντο.

100.

1. ὅποτε ὁρμῷτο τρέχειν κατὰ κράτος, σὺν θεοῖς ἔλαθεν αὐτούς.
2. εἰ τοῦτ' ἦν κατ' ἐκεῖνο, εὐτυχέστατοι ἂν ἦμεν.
3. εἰ μὴ ᾔδη σε δεινὸν λέγειν ὄντα οὐκ ἂν ᾔδη τί δρῶ.
4. μὴ γὰρ οὕτως ᾖ τὸ πρᾶγμα· εὐλαβητέον δὲ μὴ ἁμάρτωμεν.
5. δεομένῳ σοι ἑκὼν ὡς μάλιστα ἐχαρισάμην· ἆρ' οὐ χάριν οἶσθα ;
6. εἰ νυκτὸς ὁρμῴμην, λάθοιμι ἂν ἀποιχόμενος.
7. ποῖ δ' ἂν ἡμᾶς ἄγοι τελευτῶν οὗτος ὁ λόγος, εἰ ἀκολουθοῖμεν ;
8. ὑπερφυῶς ὡς ἥσθην ἀκούσας παρεῖναί σε κατ' αὐτὸ τοῦτο.
9. πῶς ἔχεις περὶ τοῦ πίνειν πολύ ; οὐ γὰρ ἐγὼ πρόθυμός μοι δοκῶ.

10. εἰ ἀπέθανον τριάκοντα ἔτη γεγονώς, εὐτυχὴς ἂν ἐγενόμην.
11. τοιούτου δή τινος λόγου δεόμεθα, ὅστις εὖ καὶ ἀξίως ἐπαινέσει τοὺς ἀποθανόντας.
12. ὡς ἐν βραχεῖ περιλαβεῖν, δείξει αὐτὸ τὸ ἐκβάν.
13. εἴτ' οὖν ἕκοντα εἴτ' ἄκοντα ποιεῖν σε δεῖ πάντως, εὖ ἴσθ' ὅτι.
14. ἄλλοτε μὲν φοβοῦμαι μὴ ἁλῶ, ἄλλοτε δὲ θαρρῶ ὡς νικήσων.

101.

1. χρείαν μὲν φῂς εἶναι τῶν ἀνδρειοτάτων τῶν στρατιωτῶν· τί δ' εἰ μὴ ἄρα τοιοῦτοί ἐσμεν ;
2. ἄριστος αὐτὸς ἑαυτοῦ τις τεσσαράκοντα γεγονὼς ἔτη.
3. δῆλός ἐστι φοβούμενος μὴ ἁλῷ· μὴ γὰρ αἴτιος ᾖ.
4. ἐὰν ἡμᾶς καταλάβῃς μεταξὺ δειπνοῦντας, μετέχοις ἂν τοῦ δείπνου· τί μήν ;
5. τὰ κακὰ χαίρειν ἐῶ· ὡς ὤφελεν ζῆν ὁ διδάσκαλος.
6. εἰ δίκαιον ἀποθανεῖν ἐμέ, ὅπως ἔσται ὡς μαλακώτατος ὁ θάνατος.
7. οὔ φημ' αὐτὸς ἐν αἰτίᾳ εἶναι ἀλλὰ σέ, μηδὲ ἀεὶ ταὐτὰ εἴπῃς.
8. ἥττων ὁ παθὼν εὖ τοῦ εὖ ποιοῦντος, ὡς ἐμοὶ χρῆσθαι κριτῇ.
9. εἰ χαλεπῶς φέρεις ἐλεγχόμενος, οὐ δῆλος ἄρ' εἶ ἁμαρτὼν ἤδη ;
10. οὐ δῆτα· οὐ γὰρ τὸ μὴ ὀργίζεσθαι βάσανος τοῦ θ' ἁμαρτεῖν καὶ μή.

11. φανερός ἐστι τεθνηκώς· εἰ δὲ μή, ἐκίνει ἂν τὰ βλέφαρα.
12. οὐκ ἂν διαλεγοίμην τῷ τοιούτῳ ἔγωγε.
13. μόνον οὐχ ἑάλω ἡ πόλις, ὅσον ἐμέ γ' εἰδέναι.
14. εἰ ἀπέθανεν ἐν τῇ μάχῃ, δέξονται οἱ συγγενεῖς τὸν μισθόν.

102.

1. ἡμεῖς μὲν, εἰ καὶ χαλεπὴ ἐγένετο λαβεῖν, ἐλάβομεν ἂν τὴν πόλιν.
2. θαυμάζω σε, ὦ μάταιε, ὅστις κρείσσων σαυτῷ δοκεῖς ἐμοῦ.
3. εἰπὼν φοβερώτερα ἢ ὥστε διελθεῖν θοἰματίου λαβόμενος ἀπέσπα.
4. εἰ μέγαν τινα ἀναρρίψαιμι κίνδυνον, μὴ βοηθοίης ἂν σύ; πῶς γὰρ οὔ;
5. ἐὰν βιάζῃ οὐκ ἀμυνοῦμαι.
6. ἐς τοσαύτην ταραχὴν κατέστη ὥστε οὐκ ᾔδει τί ποιήσῃ.
7. ὅταν ἴδω αὐτὸν, μόλις ἀπέχω τὼ χεῖρε.
8. ὅντινα ἔνδον ἴδοιμι μετεδίδουν τοῦ οἴνου.
9. Ἡράκλεις, τουτὶ τί ἦν τὸ τέρας; οὐ φθάνοις ἂν ἐκποδὼν γενόμενος;
10. ἐὰν κατορθώσω τοῦθ' ὃ μετὰ χεῖρας ἔχω, χάριν εἴσομαι τοῖς θεοῖς μεγίστην.
11. οἱ βάρβαροι προσεποιοῦντο πλείστην πρὸς ἡμᾶς φιλίαν.
12. μετὰ τὴν μάχην ἀμφότεροι ἀντεποιοῦντο νίκης.

13. ὠργίσθησαν ἡμῖν ἄνευ λόγου.
14. πρῶτον ἐξετάσας τί νεωστὶ πεποίηκεν εἶτα κρῖνε ὁποῖός τις ἐστί.

103.

1. ὅτι χρῶμαι ἐμαυτῷ οὐκ οἶδα· ἆρ' ὠφελήσεις σύ ;
2. ἥδιστά γ', οὐ γὰρ ἔστιν ὅπως ἀρνήσομαι.
3. στήσομαι ἕως ἂν ἐπιγίγνηταί θ' ἕως καὶ ἀνατέλλῃ ὁ ἥλιος.
4. οὐκ ἔστιν ὅπως ἂν μένοις ἐνθάδε, οὐδ' εἰ βούλοιό γε.
5. οὐκ ἔστιν ὅπως ὀργισθήσομαι ταῦτ' ἀκούσας· πολλοῦ γε καὶ δέω.
6. παίζει μὲν ἔχων, καταγελαστότατος δὲ γίγνεται.
7. ἀλλὰ νὴ Δία μεγάλη μὲν ἡ νίκη, μεγάλη δ' ἡ φθορά.
8. εὐτράπελος μέν ἐστι θαυμασίως ὡς· ἀλλὰ χαιρέτω τοῦτο.
9. εἰ μέγα τι ποιήσειας, οὐκ ἔστιν ὅπως οὐκ ἂν κατορθώσειας.
10. εἰ ἐς φυγὴν κατέστησαν οἱ πολέμιοι, οὐκ ἂν ἐξεπλάγημεν ἡμεῖς.
11. καὶ πολὺν χρόνον ἤδη διαλεγομένοις ὁ Σωκράτης ἐσῆλθεν.
12. εἰ ἔσχεν καὶ τὸ εὐτράπελον πρὸς τῷ καλὸς εἶναι, μεγάλα δὴ οἷός τ' ἦν ποιεῖν.
13. τί χρῆμα, ὦ φιλὴ κεφαλή ; πόθεν ἀνθρώπων ἥκεις τηνικαῦτα τῆς ἡμέρας ;
14. ἠρώτα πρὸς τί χρησίμη ἐστὶν ἑκάστη τῶν τεχνῶν.

104.

1. τοιαῦτα δράσαντες ἤ τι ἢ οὐδὲν ὀνησόμεθα.
2. δέδοικε μὴ τοῖς πολίταις ἀπεχθάνηται.
3. οὐ χαίρων ἐνθένδε ἀπαλλαχθήσει.
4. οὐκ ἐπιτήδειός τις ἐστίν τήνδε τὴν ἡγεμονίαν ἐπιτρέπεσθαι.
5. ὅπως μὴ ἀφορμὴν κατὰ σεαυτοῦ τοῖς ἐχθροῖς παρέξεις.
6. σωφρονεῖ ὅστις αἰδῶ τοῦ βίου προτιμᾷ.
7. ἀπ' αὐτῶν τῶν ἀναγκαίων τὸν βίον εἴχομεν.
8. τοιαῦτά σε ἐγνωκότα οὐδὲ ἀρχὴν ἀφικέσθαι ἔδει.
9. μόνῳ συνῄειν ἐμοὶ ἐς τὴν Φιλίππου.
10. {προῖκα / δωρεὰν} ταῦτα πάντα ἐδώκαμεν καίπερ ἐξὸν μισθὸν πράξασθαι.
11. ἀπέκτεινον ὅντινα τυραννίδος ὀρεγόμενον ὁρῷεν.
12. ὅτι βουλόμενος τοῦτο ἐνεωτέριζεν οὐ κατὰ ταὐτὸ λέγεται.
13. πολλὰ πράγματα παρεῖχον ἐμοὶ οἱ δοῦλοι πρὸς ἀλλήλους ἐρίζοντες.
14. καὶ νὺξ ἐπεγένετο τῷ ἔργῳ.

105.

1. οὐχ ἥκιστα διὰ φθόνον ταῦτα αὐτὸν ἐσῄειν.
2. θαυμάζω εἰ ταύτην τὴν νίκην περὶ τοσούτου ποιεῖ.
3. τί παθὼν ταῦτα ἔδρασας οὐκ ἐῶντος ἐμοῦ ;
4. ὑποσχόμενος τῶν τρόπων μεθίστασθαι οὕτω δὴ ἐλευθερωθήσεται.

5. ὁ Σωκράτης τοὺς συνόντας τῶν μὲν κακῶν ἀπέχεσθαι τῶν δὲ καλῶν ἀντέχεσθαι ἐδίδασκεν.
6. δέδοικα μὴ ἀπέχθωμαι τοῖς πολίταις.
7. ὁ ἀεὶ βασιλεὺς ταύτην τὴν ἐξουσίαν ἔχει.
8. τὸ στράτευμα πλέον ἀπέχει ἢ ὥστε ἐκεῖσε πεζῇ ἀφικέσθαι ἡμᾶς.
9. ἀπὸ λοιδορίας ἀρξάμενος ἐς δέησιν ἐτελεύτησεν.
10. προσέχοις ἂν τοῖς λεγομένοις (or ἐντρέποιο ἂν τῶν λεγομένων).
11. οἱ ἐγγὺς πράγματα ἡμῖν συνεχῶς παρέξουσιν.
12. οἱ παραγενόμενοι οὐ ταὐτὰ περὶ τῶν αὐτῶν ἔλεγον.
13. μὴ πλείω ἐρώτα ἢ ὅσοις ἀποκρίνεσθαι ἔχω.
14. μὴ πλείω αἴτει ἢ ὅσα χαρίζεσθαι ἔχω.

106.

1. ὁ ἀνὴρ, κἂν ἐπὶ πλεῖστον ὠφελῇς, οὔποτε εὖ σχήσει.
2. περιεῖδε τὸν αὑτοῦ πατέρα τῶν ἀναγκαίων σπανίζοντα.
3. αὐτὸς ἡμαρτηκὼς τιμωρεῖται ἐμέ.
4. σκέψαι οἷος μὲν ἐγὼ περὶ σὲ γέγονα, οἷος δὲ σὺ περὶ ἐμέ.
5. ἐπ᾽ οἴκου πλέοντας κατέλαβεν ἡμᾶς χειμὼν οὐδενὶ ἐοικώς.
6. πολλῶν ἐπ᾽ ἀμφότερα εἰρημένων ἡ τοῦ Κλέωνος γνώμη ἐνίκησεν.
7. πολλοὶ μὲν προυβλήθησαν· τοῦ δὲ πλήθους χειροτονήσαντος, ἀνερρήθη ὁ Φίλιππος.

8. τὸν στρατηγὸν πείσας τοῦ χωρίου αὔριον ἀποπειράσεται.
9. μῶν σπουδάζων λέγεις;
10. ἔστιν ὅτε ἀληθεύων λανθάνει ὁ γέλωτος ἕνεκα λέγων.
11. πᾶσα ἡ πόλις ἀναπλέα τῆς νόσου ἐγένετο (or ἀνεπλήσθη).
12. οὐχ ὁρῶ δι' ὅτι τὸ μὲν ἕτερον τὸ δὲ ἕτερόν ἐστιν αὐτῶν.
13. τῷ φίλῳ πολὺν χρόνον διελεγόμην.
14. οὕτω πρὸς ἡμᾶς αὐτοὺς διελογιζόμεθα.
15. ἐν τῷδε τὰ ὑπάρχοντα συνελέγομεν.

107.

1. οὐ ναῦται, πλὴν ὀλίγοι τινές, καὶ οὗτοι οὐδένες.
2. ὅποτε καταβαίη κατὰ τὴν κλίμακα, κἂν ἔκοψέ μοι τὴν κεφαλήν.
3. ἀπαγορεύουσιν οἱ νόμοι μὴ ὑποδέχεσθαι φυγάδα μηδένα.
4. εἰ ἀποσφαλείην τῆς ἐλπίδος, φοβοίμην ἂν μὴ ἀπολοίμην.
5. ταὔτ' ἐμοὶ τὰ σοὶ πεπολιτευμένα.
6. ἐπειδὴ ἀκούσαιμεν ὅτι ἐγένετο, ἐκλαύσαμεν ἂν μεγάλα.
7. εἰ ἐθέλοις μοι οἴκοι μόνος μόνῳ συνελθεῖν, δυναίμην ἂν σε πείθειν.
8. οἶδε μὲν μῶρος ὢν ἢ τὶς ἢ οὐδείς, μῶροι δ' εἰσὶν οὐδὲν ἧσσον.

9. *βουλοίμην ἂν ἐρωτᾶν αὐτὸν, τί ποτε ἐποίησεν ἄν.*
10. *ἀπαντήσω σοι αὔριον ἐς τὸ πρυτανεῖον.*
11. *εἰ ἀναπλέα ἐγένετο ἡ πόλις τοῦ λοιμοῦ, οὐκ ἂν ἔγωγε ἐκεῖσε ἦλθον οὐπώποτε.*
12. *εἰ μὴ ποιήσουσιν κελεύοντος ἐμοῦ, ἄγε διὰ λόγων αὐτὸς γίγνου αὐτοῖς.*
13. *ἐκ δεξιᾶς εἰσιόντι ἐς τὴν πόλιν νεώς ἐστι μέγας θαυμασίως ὡς.*
14. *εἰ ἐγενόμην πτωχὸς ἐκ βασιλέως, τίς ἂν ἦν δυστυχέστερος;*

108.

1. *λόγος ἂν εἴη μακρὸς διηγεῖσθαι ὅποσα κακῶς ἔπαθον ὑπὸ σοῦ.*
2. *εἰ ὁ αὐτὸς ἐξεύροι τε καὶ κρίνοι, πολλοὶ ἂν γένοιντο πλούσιοι.*
3. *σπουδάζεις τὰ μὲν, τὰ δ' οὔ· ὅπως μὴ σφαλεῖ.*
4. *φοβοῦμαι ὄναρ τε καὶ ὕπαρ μὴ ἐς λύπην καταστῶ ἢ ταλαιπωρίαν.*
5. *δοίης μοι, ὦ Ζεῦ, καλῷ εἶναι τἄντος· τὸ δ' ἔξω εἴη ἀδελφὸν τοῦ ἔσω.*
6. *ἕστηκε μὲν ὡς ζῶν, ἐὰν δὲ ἐρωτήσῃς τι, εὐφημεῖ.*
7. *εἰ δίκην ἐδίδου ἀποθανὼν ὁ δρῶν ἃ μὴ χρή, σὺ ἂν ἦσθα τεθνηκώς.*
8. *ἱκετεύω σε μ' ἐπωφελεῖν εἰ δίκαια ἀξιῶ, μηδὲ περιορᾶν γιγνόμενον πένητα.*
9. *εἰ ἤκουσας ἃ εἶπον, οὐκ ἂν ἦσθα πτωχός.*
10. *ἐπεὶ τάχιστα ᾐσθόμην νοσῶν, μετεπεμψάμην τὸν ἰατρὸν ἵνα παραγένοιτο.*

11. *ὠμόσαμεν ἀλλήλοις ἦ μὴν δικαίως μεθέξειν τῶν ὄντων.*

12. *οὐ χαίρων ἄπει οὔποτε ἐὰν στοχάζῃ τυραννίδος.*

13. *ἦ οἶσθα διὰ τί ποιεῖ οἷα οὐδείς πω; οὐ δῆτα· σὺ δ' οἶσθά που;*

14. *οὐδείς μὰ τὸν Δία πείθοιτο ἂν ἐν οἵᾳ ἀπορίᾳ ᾖ.* [*Or*, *οὐδεὶς ἤθελε πείθεσθαι*, if *would* is the past of *will*.]

15. *οὐ δίκαιος εἶ ἀπιὼν ἐὰν μὴ μισθὸν διδῷς τοῖς ναύταις.*

The Modern French Series.

A Primer of French Grammar.
By A. A. Somerville. 2s. net.

Primary French Exercises.
By A. A. Somerville. 1s. 6d. net.

A Primary Translation Book.
By Lyon and Larpent. 2s. net.

Beginners' Texts. 7d. each.
- Nouvelles et Anecdotes.
- Les Deux Sœurs.
- Historiettes.
- Mêle-toi de ton Métier. Bruneau.
- La Belle au Bois Dormant: Le Chat Botté.
- Petites Histoires Enfantines.
- Ce qu'on voit. Pompéry.
- Petit Livre d'Instruction et de Divertissement.
- Huit Contes. Minssen.

Elementary Texts. 9d. each.
- Les Enfants Patriotes. Bruno.
- Le Petit Tailleur Bouton. Genin.
- L'Expédition de la Jeune-Hardie. Verne.
- Un Cas de Conscience. Gervais.
- L'Histoire de la Mère Michel et de Son Chat. De la Bedollière.
- Seulette. E. de Pressensé.
- Les Prisonniers du Caucase. De Maistre.
- Récits de Guerre et de Révolution.
- Une Aventure du Célèbre Pierrot. Assolant.
- Laurette ou Le Cachet Rouge. A. de Vigny.
- Causeries sur les Grandes Découvertes Modernes. Müller.

Intermediate French Translation Book. By W. S. Lyon. 2s. 6d. net.

Intermediate Texts. 1s. each.
- Deux Légendes Bretonnes Recueillies et Traduites en Français. Luzel.
- Le Tresor du Vieux Seigneur. Erckmann-Chatrian.
- Chez les Sauvages. Sandeau.
- Le Col d'Anterne. Töpffer.
- L'Histoire d'un Paysan. Erckmann-Chatrian.
- Yvon et Finette. Laboulaye.
- Récits de la Vieille France. Assolant.
- Le Duc de Reichstadt. St. Amand.
- Le Pacte de Famine. Berthet.
- L'Evasion du Duc de Beaufort. Dumas.
- La Cigale chez les Fourmis. Legouvé et Labiche.
- L'Oeillet Rouge. Murat. Dumas.

Advanced Passages for French Unseen Translation.
By H. C. Steel. 2s. 6d. net.

Morceaux Detachés.
By J. W. J. Vecqueray. 3s. net.

Advanced French Prose Composition. By J. Duhamel. 4s. 6d. net.

Advanced Texts. 2s. each.
- Sacs et Parchemins. Sandeau.
- Nouvelles Contemporaines.
- Stello. De Vigny.
- Pierre et Camille, Histoire d'un Merle Blanc. De Musset.
- La Veillée de Vincennes. De Vigny.
- La Petite Fadette. G. Sand.
- Voyage en Espagne. Gautier.
- Le Curé de Tours. Balzac.
- Le Violon de Faïence. Champfleury.
- Guerres Maritimes. Gravière.
- Pêcheur d'Islande. Loti.
- L'Orient. Gautier.
- Chronique du Règne de Charles IX. Mérimée.
- Charlotte Corday. Ponsard.
- Impressions de Voyage en Suises. Dumas père.

Duhamel and Minssen's Complete Course of French Prose Composition.
1. First Steps in French Reading and Composition. By J. Duhamel. 3s. 6d.
2. A Primer of French Prose Composition. By J. Duhamel and B. Minssen. 2s. 6d.
3. French Prose Composition for Middle Forms. By J. Duhamel and B. Minssen. 3s. 6d.
4. Advanced French Prose Composition. By J. Duhamel. 4s. 6d. net.

By V. J. T. Spiers.

History and Literature of France. 6s.; or in Two Parts, 3s. 6d. each.

Rapid Exercises on French Grammar. 2s. 6d.

Jettatura (Gautier). 2s. 6d.

Le Chant du Cygne (Ohnet). 2s.

French and English Passages for Unseen Translation. By Eugene Pellissier. Junior, 2s.; Middle, 3s. 6d.; Senior, 5s.

The Beginners' French Grammar and Exercise Book.
By H. R. Harper. 1s. 6d.

First Exercises in French Prose
With Notes and Vocabularies.
By H. C. Benbow. 3s. 6d.

French Genders at a Glance.
By L. B. Meunier. 4d.

